Tzetzes · Epistolae · 1851



JOANNIS TZETZAE

EPISTOLAE.

EX CODD. MSS. BIBL. REG. PARIS. NUNC PRIMUM EDIDIT,

ANIMADVERSIONE INSTRUXIT,

APPARATUM CRITICUM AD CHILIADUM LIBROS

ADIECIT

THEOD. PRESSEL,

PHILOSOPHIAE DOCTOR. PROFESSOR.

TUBINGAE,

IN BIBLIOPOLIO FRANCISCI FUES.

MDCCCLI.

studiosis spero. Denique Graecitatis indicem adiunxi, in quo verba, quae in vulgatis Lexicis omissa in Epistolarum libro leguntur, enumerantur.

Plura de his Epistolis, quarum editionem principem lectoribus benevolis commendo, alio loco mox s. D. v. disseram.

Scripsi Tubingae mense Augusto A. 1851.

P.

ΕΠΙΣΤΟΛΑΙ ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

α. ΤΩΙ ΕΥΛΑΒΕΣΤΑΤΩΙ ΔΙΑΚΟΝΩΙ ΚΥΡΙΩΙ ΕΠΙΦΑΝΙΩΙ, ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΣΙΔΗΣ [1]).

Πυνθάνομαι ὡς παρά σοί τινες ἐπιφυλλίδες τε καὶ στωμύλματα γλῶτταν ἀχάλινον καθ' ἡμῶν κεκινήκεσαν καὶ τὰ ἡμέτερα ὡς οἷόν τε ἦν αὐτοῖς διασέσυρται. Εἰ μὲν οὖν βεκεσέληνοί [2]) *τινες εἶεν καὶ βλιτομάμμαντες, φρονοῦντες ὅσα Μελιτίδης τε καὶ Μαμμάκυθος, καὶ τὰ ἑαυτῶν ὑπεραίρειν δοκοῦντες τῷ καθαιρεῖν τὰ ἀλλότρια, οἴκτου μᾶλλον καὶ οὐκ ὀργῆς εἰσὶν ἄξιοι, ὅτι μεμήνασιν, αὐτοὶ ἑαυτοὺς ἐπαινείτωσαν, ταῖς ἑαυτῶν σκιαῖς προςλαλείτωσαν, καθάπερ καὶ ἡ ὁμόφρων τούτοις Μακκὼ* [3]) *τῷ ἑαυτῆς κατόπτρῳ προςδιελέγετο· λαλείτωσαν καθ' ἡμῶν ὅσα βούλοιντο, ἀκούσονται γὰρ παρ' ἡμῶν οὐδὲ γρῦ. Εἰ δέ γε τοιοῦτοι μὲν οὐκ εἰσι, σπείσασθαι δὲ πρὸς ἡμᾶς ἑταιρείαν ἐθέλοντες, τῷ τοῦ Πειριθόου ταὐτὸν μεμηχάνηνται, δέχομαι τὴν ἑταιρείαν ἀσμένως* [4]) *καὶ τοῖς ἀνδράσι συσπένδομαι, οὐδ' ὡς ὁ Σόλων τὸν Σκύθην ἐκεῖνον Ἀνάχαρσιν ἀποπέμπομαι. Εἰ δέ γε τοῦτο οὔθ' οὕτως οὔτε ἐκείνως ἔχον ἐστίν, ἀλλ' ἄρα τῷ τρίβωνι καὶ τῇ περιτιάρᾳ* [5]) *γεγαύρωνται, ἴστωσαν ὡς Κυμαῖοι μὲν ὄνοι*

---

1) Haec epistola ab Hamakero in Bibl. critica nova IV. p. 379 sq. in lucem publicam prolata est. Respondet Chil. IV. vs. 784. ad Chil. V. vs. 185. Tzetzes Aristophanis Ranas ante oculos habuisse videtur in scribendo, quum plura vocabula inde petita sint, e. g. *ἐπιφυλλίδες* et *στωμύλματα* (Ranae 92.), *μελιτίδης* et *μαμμάκυθος* (Ranae 990 sq.).

2) A Schol.:

> *Βέκος, τέκος, πέκος τε σὺν τούτοις ἅμα,*
> *Ἓν κάππα σε χρὴ τεχνικῷ λόγῳ γράφειν·*
> *Αἰολεῖς γράφουσι κάππα δ' αὖ δύο.*

3) In Chil. Hist. 6. vulgata lectio *ἀκκώ*, sed ibi quoque nostri codd. *μακκώ*. Cf. Arist. Eq. 395.: *καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον*, ubi Schol. etym. affert: *μακκώ, ἐνεὰ καὶ βαρέως νοοῦσα.*

4) A Schol.: *ἥδω ἥσω, ἥσμενος καὶ ἄσμενος· τὸ δὲ οὐκ ἀσμένη τὸν ἐξ ἐμοῦ δέχη λόγον. Ἰώνων καὶ Αἰολέων.*

5) A Schol.: *Περιτιάρα, κίδαρις, περικεφαλαία λευκή, περιτίαρον.*

studiosis spero. Denique Graecitatis indicem adiunxi, in quo verba, quae in vulgatis Lexicis omissa in Epistolarum libro leguntur, enumerantur.

Plura de his Epistolis, quarum editionem principem lectoribus benevolis commendo, alio loco mox s. D. v. disseram.

Scripsi Tubingae mense Augusto A. 1851.

P.

ΕΠΙΣΤΟΛΑΙ ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

α. ΤΩΙ ΕΥΛΑΒΕΣΤΑΤΩΙ ΔΙΑΚΟΝΩΙ ΚΥΡΙΩΙ ΕΠΙΦΑΝΙΩΙ, ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΣΙΔΗΣ [1]).

Πυνθάνομαι ὡς παρά σοί τινες ἐπιφυλλίδες τε καὶ στωμύλματα γλῶτταν ἀχάλινον καθ' ἡμῶν κεκινήκεσαν καὶ τὰ ἡμέτερα ὡς οἷόν τε ἦν αὐτοῖς διασέσυρται. Εἰ μὲν οὖν βεκεσέληνοί [2]) τινες εἶεν καὶ βλιτομάμμαντες, φρονοῦντες ὅσα Μελιτίδης τε καὶ Μαμμάκυθος, καὶ τὰ ἑαυτῶν ὑπεραίρειν δοκοῦντες τῷ καθαιρεῖν τὰ ἀλλότρια, οἶκτου μᾶλλον καὶ οὐκ ὀργῆς εἰσὶν ἄξιοι, ὅτι μεμήνασιν, αὐτοὶ ἑαυτοὺς ἐπαινείτωσαν, ταῖς ἑαυτῶν σκιαῖς προςλαλείτωσαν, καθάπερ καὶ ἡ ὁμόφρων τούτοις Μακκὼ [3]) τῷ ἑαυτῆς κατόπτρῳ προςδιελέγετο· λαλείτωσαν καθ' ἡμῶν ὅσα βούλοιντο, ἀκούσονται γὰρ παρ' ἡμῶν οὐδὲ γρῦ. Εἰ δέ γε τοιοῦτοι μὲν οὐκ εἰσί, σπείσασθαι δὲ πρὸς ἡμᾶς ἑταιρείαν ἐθέλοντες, τῷ τοῦ Πειριθόου ταὐτὸν μεμηχάνηνται, δέχομαι τὴν ἑταιρείαν ἀσμένως [4]) καὶ τοῖς ἀνδράσι συσπένδομαι, οὐδ' ὡς ὁ Σόλων τὸν Σκύθην ἐκεῖνον Ἀνάχαρσιν ἀποπέμπομαι. Εἰ δέ γε τοῦτο οὐδ' οὕτως οὔτε ἐκείνως ἔχον ἐστίν, ἀλλ' ἄρα τῷ τρίβωνι καὶ τῇ περιτιάρᾳ [5]) γεγαύρωνται, ἴστωσαν ὡς Κυμαῖοι μὲν ὄνοι

---

1) Haec epistola ab Hamakero in Bibl. critica nova IV. p. 379 sq. in lucem publicam prolata est. Respondet Chil. IV. vs. 784. ad Chil. V. vs. 185. Tzetzes Aristophanis Ranas ante oculos habuisse videtur in scribendo, quum plura vocabula inde petita sint, e. g. *ἐπιφυλλίδες* et *στωμύλματα* (Ranae 92.), *μελιτίδης* et *μαμμάκυθος* (Ranae 990 sq.).

2) A Schol.:

Βέκος, τέκος, πέκος τε σὺν τούτοις ἅμα,
Ἓν κάππα σε χρὴ τεχνικῷ λόγῳ γράφειν·
Αἰολεῖς γράφουσι κάππα δ' αὖ δύο.

3) In Chil. Hist. 6. vulgata lectio *ἀκκώ*, sed ibi quoque nostri codd. *μακκώ*. Cf. Arist. Eq. 395.: *καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον*, ubi Schol. etym. affert: *μακκώ, ἐνεὰ καὶ βαρέως νοοῦσα.*

4) A Schol.: *ἥδω ἥσω, ἥσμενος καὶ ἄσμενος· τὸ δὲ οὐκ ἀσμένη τὸν ἐξ ἐμοῦ δέχῃ λόγον. Ἰώνων καὶ Αἰολέων.*

5) A Schol.: *Περιτιάρα, κίδαρις, περικεφαλαία λευκή, περιτίαρον.*

λεοντιῶντες [1]), ἀνθρωπιῶντα δ' ἅττα πιθήκια ἐλεγχθήσονται. Εἰ δ' ἄρα καὶ ἄλλως πως φρονηματώδεις καὶ δοκητίαι τυγχάνουσι, μὴ κατὰ τὸν Πάριν ἐκεῖνον Ἀλέξανδρον, ὄπισθεν τοῦ τάφου τοῦ Ἴλου ἑστῶτες, λαθρηδὰ πρὸς ἡμᾶς τὰ βέλη ἐπιπεμπέτωσαν· κατὰ γὰρ τὸν Εὐριπίδην [2])

Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
Κτεῖναι τὸν ἐχθρὸν, ἀλλ' ἰὼν κατὰ στόμα·

ἐκ δὲ τοῦ προφανοῦς,

Τῶν [νῦν] ὅντινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Δεῦρ' ἴτω [3]).
Οὐ γὰρ ἐγὼν ἔῤῥιγα μάχην, οὐδὲ κτύπον ἵππων [4]).
Οἶδ' ἐπὶ δεξιὰ, οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν [5]).
Οἶδα δ' ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ [6]).

Οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλω κατὰ τὸν τραγικὸν ἐκεῖνον Αἰσχύλον τὸν Ἐλευσίνιον [7]). Μὴ θρασυνέτω δὲ αὐτοὺς καθ' ἡμῶν ἡμῶν τὸ οἰκούρημα καὶ τὸ ἠρεμαῖόν τε καὶ ἀκόμπαστον· καὶ γὰρ καὶ τὸν Ἀχιλέα ὁ Λυκομήδους ὑπέκρυπτέ ποτε παρθενὼν, καὶ οἱ Ἕλληνες τῶν Τρώων κραυγῇ κλαγγαζόντων ἠρεμαιότερον ἐπορεύοντο, ἀλλ' ὅμως οἵ τε Ἕλληνες τῶν Τρώων ἦσαν οὐχ ἥττονες καὶ Ἀχιλεὺς ἁπάντων διαπρεπέστερος, κἀμοὶ δὲ ὁμοίως αὐτοῖς ἐστὶ νοῦς μὲν ἀκόμπαστος

Χεὶρ δ' ὁρᾷ τὸ δράσιμον· [8])

ἀλλὰ τούς ἔγωγε ἀναχωρήσαντας κελεύω ἐς πληθὺν ἰέναι, μὴ δ' ἄντιον ἵστασθ' ἐμεῖο [9]),

Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν [10]).

Σωφρονιζέτωσαν αὐτὲς πρίν τι κακὸν παθέειν, Μολιονίδαι καὶ Κακοὶ καὶ Ἄσβολοι, οἵ τινες εἶναι δοκοῦντες πάλαι παρ' ἑαυτοῖς, τῷ Ἡρακλεῖ καθεύδοντι ἐπιθέμενοι, ἔγνωσαν οἵ τινες ἄρα ἐτύγχανον· οἱ μὲν γὰρ ἄθυρμά τι τούτῳ γεγόνασι, Κακὸς δὲ τὰς Γηρυόνου βοῦς ὑφαιρούμενος πρὸς τῷ αὐτοῦ σπηλαίῳ ἀνῄρητο·

---

1) Vox λεοντιάω nonnisi in Chil. IV, 937. et h. l. reperitur.
2) Eurip. Rhesus, v. 510 sq.
3) Hom. Il. VII, 74 sq.
4) Hom. Il. XVII, 175.
5) Hom. Il. VII, 238.
6) Hom. Il. VII, 241.
7) Sept. adv. Theb. 550.
8) Aesch. Sept. 554.: Ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον.
9) Ex Iliad. XX, 196.
10) Hom. Il. VI, 127.

Ἄσβολος [1] δ' οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων,
Ὑψηκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος κατὰ πεύκης
Ἄγκειτο μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

Ταῦτα φυλαττέσθωσαν ·μὴ παθεῖν καὶ αὐτοί, μήπως καὶ παρά τινος ἴσως αὐτῶν κακωτέρου ἀκούσειαν, τὴν Διονυσίου τραγῳδίαν ἐπᾴδοντος αὐτοῖς προσαρμόζουσαν. Φησὶ γὰρ ἐκεῖνος ὁ τύραννος οὑτωσὶ μετρικῶς ἐκβοῶν·

Αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.
Ἀνέξομαι γάρ, εὖ ἴσθι, οὐδαμῶς τοιαῦτα ἀκούειν [2]·
Οὐ γὰρ ἐμὸς πέφυκε ταρβήμων νόος,
Οὐδ' ἀχαριτόγλωττός [3] εἰμι πρὸς λόγους,
Ἀλλ' οἶδα νωμᾶν εὐφυῶς τὴν ἀσπίδα,
Οἶδα κραδαίνειν δεξιῶς ἄγαν δόρυ,
Ἐλῶ τὸν ἵππον, οὐ πέφρικα τὸν κτύπον,
Τῇ συστάδην γέγηθα τῶν ἄλλων πλέον,
Καὶ τόξα τείνων οὐ πτοοῦμαι τὰς μάχας [4].

---

1) Epigramma in Asbolum, quod cum aliqua diversitate in Chiliadibus exstat et in Tzetzae Exegesi Homerica, debemus Philostrato in Heroicis p. 748. In reliqua varietate omnes conspirant in absurdam lectionem ἀπ' εὐλιπέος κατὰ πεύκης, quod vitium ex judicio Hamakeri tolletur, si legas ἐπ' εὐλιπέος μαλὰ πεύκης Ἄγκειμαι. In Chil.. legitur ἄγκειται.

2) Errat Matranga (Anecd. Gr. I. p. 15.) qui etiam sequentia usque ad finem epistolae e quadam Dionysii tyranni tragoedia deprompta vult, ideoque metri caussa corrigendum coniicit: ἀνέξομ' εὖ ἴσθ' οὐδαμῶς ταῦτ' ἀκούειν. Interposita hac prosa oratione versus sequentes a Dionysii loco laudato (cf. Chil. V, 185.) separantur, et illi quidem lusus musae Tzetzeanae esse videntur.

3) A Schol.: ἀχαριτόγλωττος — καὶ ἓν (ἦν B) τῶν δασέων ἐκτείνει ὡς παρ' Ἱππώνακτι τόδε, ἥν αὐτὸν ὄφις τὠντικνήμιον δάκοι (cf. Poet. Lyric. Bergk. p. 520. et ad Lycophr. v. 234. ubi δάκῃ), καὶ παρ' Αἰσχύλῳ (Choeph. 1046) φαιοχίτωνες (φαινοχίτωνες B.) καὶ πεπλεκτανημέναι δεινοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ. οὕτως ἔχεται τοῦτο καὶ κανόνος· τὸ δὲ πλέον ὅτι τότε καὶ διχρόνοις κατεχρώμην, ὡς οἱ βέβαλοι· ὅθεν ἀβοήθητον δίχρονον ἐςὶν ἐν αὐτοῖς· τὸ ἀχαριτόγλωττος τὸ ρι.

4) Legitur haec epistola prima in libro ms. A post finem prioris partis Chiliadum, caeterae epistolae ordine non interrupto ante Chil. V, H. 1. exstant. Qua de re in margine Codicis A post primam epistolam adscriptum legis: Τῇ ἡμετέρᾳ γραφῇ κατὰ τὸ πρωτότυπον ἐγράφη· ὅπερ τυχαίως καὶ αὐτοσχεδίως γράφων ἐγὼ οὕτω τὴν τάσιν ἀτάκτως καὶ πεφυρμένως ἐποιησάμην. Τοῖς δὲ λοιποῖς μεταγράφουσι λέγω καθεξῆς ἀδιασπάστως τὰς πάσας ἐπιστολὰς συνθέσθαι συνηνωμένως. Πρόσχες τὸ λοιπὸν πᾶς θέλων μεταγράφειν, κἂν τῶδε γράψῃς οὐ γράψεις πάλιν. Cf. Matrangae Anecd. Gr. I. p. 14. ubi eadem notula nonnullis vitiis depravata et ad finem auctior hujuscemodi ex Codd. Vat. laudatur: τοῖς δὲ λοιποῖς μεταγράφουσιν εἶπον καὶ συνέθεντο (al. λέγω καὶ συνθέσθαι) καθεξῆς ἀδιασπάστως τὰς

β. ΤΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΚΟΥΚΕΥΜΑΙ [1]).

Οἶμαί σε τῷ τῶν τοσούτων ἡμερῶν ἀριθμῷ, τοῦτο γάρ μοι ἐτύγχανες ἐγκαλῶν, τῶν τῆς ἐκστρατείας πόνων ἀναπεπαῦσθαι, κἂν ὑπὲρ τὸν ἐν μύθοις λογοποιούμενον Ἄτλαντα δυσβάστακτον οὕτω καὶ οὐκ εὐάγκαλον [2]) φορτίον ἐπέφερες. Καὶ γὰρ καὶ ἐκεῖνος ὁ Ἄτλας πλάττεταί τε καὶ γράφεται τὸν οὐρανὸν τοῖς ὤμοις βαστάζων καὶ ὑποκλάζων τῷ βάρει· ἱδρῶτί τε πολλῷ περιῤῥεῖται καὶ περιπνεῖται τῷ ἄσθματι. Κἂν γοῦν καὶ ὑπὲρ τοῦτον φορτίον εἶχες ὠμάδιον, ἀλλ' ἥ γε ἐς τοσοῦτον ῥαστώνη τε καὶ τὸ νωχελὲς καὶ ἀνέσιμον ἐξεκεκρούκει ἂν οἶμαι τὸν ἐκ τοῦ ἄχθους σοι κάματον. Μὴ γοῦν λοιπὸν ἔτι μοι προφασίσῃ τινὰ εὐπρόσωπον πρόφασιν, μηδ' εἰς κενὸν ψαλάξαντας ἡμᾶς ἀποδείξειας, ἀλλ' ἐρευνήσας στεῖλον ἡμῖν τὸ βιβλίον εὐκόλως ὥσπερ ἀπέλαβες· ἄφιλος γὰρ ἂν εἴης, εἰ μὴ τοῦτο ποιήσειας. Ἔῤῥωσο.

γ. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΤΟΥ ΚΥΡΙΟΥ ΜΙΧΑΗΛ ΤΩΙ ΒΟΥΡΤΖΗΙ [3]).

Οὐκ αἴτιος ἐγὼ τριπόθητε τοῦ μὴ γράφειν σοι οὐδ' ἀφιλίαν ὡς ὀνειδίζεις νενόσηκα· μή με ταῖς ῥητορικαῖς πειθανάγκαις καὶ τοῖς τῶν λόγων κομψότησι παραλογίζεσθαι νόμιζε· οὐκ αἴτιος ἐγὼ οὐδαμῶς, μᾶλλον δὲ σὺ ὁ τριβέλτιστος. Τότε γὰρ ἡ γραφὴ πολιτεύεσθαι εἴωθεν, ὅταν οἱ ὀφθαλμοὶ τὸ ἑαυτῶν ἀδυνατῶσιν ἐργάζεσθαι μήκει ὁδοῦ κωλυόμενοι· σὺ δὲ πρότητες κατὰ τὴν παρ' ἡμᾶς ἀγορὰν διερχόμενος, μᾶλλον δὲ καὶ στὰς ἐν αὐτῇ παρ' ἡμῶν καλούμενος οὐκ ἠθέλησας εἰς τὸ ἡμῶν δομάτιον εἰςελθεῖν καὶ ἡμᾶς ἐπισκέψασθαι. Καίτοι γε καὶ μόνον εἴπερ ἐφίλεις ἔδει σε τοῦτο πεποιηκέναι· οὐ γὰρ ὑπὸ κήρυκός τινος ἢ προκλήτορος δεῖ τοὺς φιλοῦντας πρὸς τοὺς φίλους εἰσέρχεσθαι, ἀλλ' ἀκλητὶ καὶ κατὰ τὸν ὁμηρικὸν ἐκεῖνον Μενέλαον. Οὗ δὴ χάριν [4]) ἐγὼ πάμπολα λυπηθεὶς τῇ

πάσας ἐπιστολὰς καὶ ἑξῆς πάλιν συνηγωμένως τὸν τῇδε κείμενον τῶν βραχειῶν ἱστοριῶν βραχύτατον πίνακα καὶ τὸν τῶν λοιπῶν ἱστοριῶν μέγιστον πίνακα· χοιροδίου δὲ υἱῷ ἐμπιστεύσας τὴν παροῦσαν μεταγραφὴν καὶ δοὺς καὶ μισθὸν τούτῳ καλλιγράφου λόγου ἄξιον καὶ εἰπὼν οὕτω μεταγράψαι καὶ αὐτὸν ὡς χοῖρον ὄντως ἐχ εὗρον καταπειθῆ ἀλλὰ πολλαχῶς κοπρώσαντα τὸ βιβλίον. Πρόσχες τὸ λοιπὸν κτλ.

1) Cf. Hist. 1. 2.

2) Cf. Aesch. Prom. 357.: Ἕστηκε, κίον' οὐρανοῦ τε καὶ χθονὸς Ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.

3) Cf. Hist. 3. 4.

4) A Schol.: Χάριν καταχρηστικῶς ἀντὶ τοῦ ἕνεκα.

σῇ γραφῇ οὐκ ἀντέγραψα, ἡ δ' ἀγάπη οὐ τῆς ἐμῆς καρδίας ὡς γράφεις ἀπέπτατο, ἀλλ' ἔνδον ἐνδόμυχος ἐν στέργοις μένει. Τὸ δέ γε ζωνάριόν ἐστι παρ' ἐμοὶ καὶ φυλάττεται, ὅπερ σοι δι' ἀποστολῆς εἴτε καὶ αὐτοχείρως δοθήσεται. Σὺ δὲ μοι ὑγίαινε καὶ εὐοδοῦ ἐν τοῖς πράγμασιν, ἐν πᾶσιν ὑπείκων τοῖς συγγενέσι τοῦ θείου προστάγμασι· καὶ εἰ οὐδὲ γραφῆς ἀξιοῖς ἡμᾶς οὐ φροντιοῦμεν περὶ τούτου. Τοῦτο γάρ μοί ἐστι καὶ γραφὴ καὶ καλὴ ἀγγελία καὶ τῶν καλῶν ἁπάντων τὸ κάλλιστον, τὸ καλῶς ἔχειν σε. Βραχεῖαν ἀντιγραφήν σοι κατὰ τοὺς Λάκωνας ταύτην ἀντέγραψα μεγάλης ἀγάπης ἐμπόρευμα περισώζουσαν. Ἔῤῥωσό μοι τριπόθητε.

δ. ΤΩΙ ΠΡΩΤΟΝΩΒΕΛΛΙΣΙΜΩΙ ΚΥΡΙΩΙ ΜΙΧΑΗΛ ΤΩΙ ΤΑΡΩΝΙΤΗΙ [1]).

Ἀλλὰ καὶ Σόλων ἐκεῖνος ὁ Ἀθηναῖος ὁ περιβόητος, τριπόθητέ μοι πανσέβαστε (μαντεύομαι γὰρ ἐπευχόμενός σοι τὰ κάλλιστα), ἧκέ ποτε παρὰ τὴν ὑπὸ Κροῖσον ἀρχήν. Εὐθὺς δὲ λόγος πολὺς ἐφέρετο τοῦ ἀνδρός· ὁ δέ γε Λυδὸς ἐκεῖνος ἀνὴρ κομποῤῥηματοχρηματομετεωροφρέναξ ὢν καὶ τῇ ἀλαζονείᾳ ὑπεραιθέριος ἡμέρᾳ τακτῇ τὸν φιλόσοφον εἰς τὸ τούτου παλάτιον εἰςιέναι παρακελεύεται, ὡς τὴν ἐκείνου δῆθεν εὐδαιμονίαν θαυμάσαντα, ὡς ἐκεῖνος ᾤετο. Πῶς δ' ἂν εἴποις παρὰ τὸν τῆς ὑποδοχῆς ἐκείνου καιρὸν φιλοκάλως ἐξέστεψεν ἅπαντα, τὰς ἀγυιάς, τὰς οἰκοδομάς, τὰ τῶν δόμων προπύλαια, τοὺς οἰκέτας, τοὺς ἡγεμόνας, τοὺς στρατηγοὺς τῶν δυνάμεων. Ὡς δὲ καὶ καιρὸς ἦν ἤδη τὸν ἄνδρα γενέσθαι πρὸς τὰ βασίλεια, τοὺς παρεστῶτας ἅπαντας εἶναι Κροίσους ἐνόμιζεν· ἑώρα γὰρ ἐκείνους χρυσῷ καὶ πορφύρᾳ καὶ πολυτελέσιν ἐσθήμασι διαλάμποντας. Ἀλλ' ἐκεῖνος μετὰ μικρὸν καὶ τὸν Κροῖσον ἑώρακε καὶ τὴν διαφορὰν ὁποίαν εἶχε πρὸς ἐκείνους μεμάθηκε, πλὴν καὶ ἑωρακὼς οὐ τεθαύμακεν. Οἱ δέ γέ σοι θεράποντες ὑπὸ τὴν ἐμὴν ἐλθόντες τῆτες οἰκίαν αὐτόκλητοι τἄλλα [2]) μὲν κατὰ ταὐτὸν ἐκείνῳ πάνυ πεπόνθασι, τὸν δέ γε

---

1) A Schol.: *Τῆς παρούσης ἐπιστολῆς ἡ ἰδέα σεμνότης γλυκύτητι διόλου συγκεκραμμένη. Τὰ διθυραμβώδη ταῦτα μόνοις τοῖς ἀστεΐσμασι εἰσὶ προσφυῆ· καὶ κωμῳδίων τοῖς συγγράμμασι, καὶ εἴ τις οἶδε τὰ νῦν λυρικὰ γράφειν ποιήματα· ἀπρόσφορα* (*ἀπρόσφορ*... A *ἀπρός* suprascr. *φρ*. B.) *καὶ γελοῖα ταῖς λοιπαῖς συγγραφαῖς.* Cf. Hist. 5. usque ad Hist. 11.

2) A Schol. *τ' ἄλλα·*

Ὄξυνε τ' ἄλλα, μὴ περίσπα δυστέχνως·
Ἐκ γὰρ βαρείας πρῶτον ὀξείας μετὰ (*μέτρον B*)
Τὴν σύνθεσιν εἴληχεν· οὐ τοὐναντίον.
Ἅπαν δ' ὅπερ σχῇ σύνθεσιν τοίαν φέρειν,
Εἴτ' ἐκ βαρειῶν σύνθεσιν ἔχει, δύο,

JOANNIS TZETZAE

EPISTOLAE.

EX CODD. MSS. BIBL. REG. PARIS. NUNC PRIMUM EDIDIT,

ANIMADVERSIONE INSTRUXIT,

APPARATUM CRITICUM AD CHILIADUM LIBROS

ADIECIT

THEOD. PRESSEL,

PHILOSOPHIAE DOCTOR. PROFESSOR.

TUBINGAE,

IN BIBLIOPOLIO FRANCISCI FUES.

MDCCCLI.

studiosis spero. Denique Graecitatis indicem adiunxi, in quo verba, quae in vulgatis Lexicis omissa in Epistolarum libro leguntur, enumerantur.

Plura de his Epistolis, quarum editionem principem lectoribus benevolis commendo, alio loco mox s. D. v. disseram.

Scripsi Tubingae mense Augusto A. 1851.

P.

ΕΠΙΣΤΟΛΑΙ ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

α. ΤΩΙ ΕΥΛΑΒΕΣΤΑΤΩΙ ΔΙΑΚΟΝΩΙ ΚΥΡΙΩΙ ΕΠΙΦΑΝΙΩΙ, ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΣΙΔΗΣ [1]).

Πυνθάνομαι ὡς παρά σοί τινες ἐπιφυλλίδες τε καὶ στωμύλματα γλῶτταν ἀχάλινον καθ' ἡμῶν κεκινήκεσαν καὶ τὰ ἡμέτερα ὡς οἷόν τε ἦν αὐτοῖς διασέσυρται. Εἰ μὲν οὖν βεκεσέληνοί [2]) τινες εἶεν καὶ βλιτομάμμαντες, φρονοῦντες ὅσα Μελιτίδης τε καὶ Μαμμάκυθος, καὶ τὰ ἑαυτῶν ὑπεραίρειν δοκοῦντες τῷ καθαιρεῖν τὰ ἀλλότρια, οἶκτον μᾶλλον καὶ οὐκ ὀργῆς εἰσὶν ἄξιοι, ὅτι μεμήνασιν, αὐτοὶ ἑαυτοὺς ἐπαινείτωσαν, ταῖς ἑαυτῶν σκιαῖς προςλαλείτωσαν, καθάπερ καὶ ἡ ὁμόφρων τούτοις Μακκὼ [3]) τῷ ἑαυτῆς κατόπτρῳ προςδιελέγετο· λαλείτωσαν καθ' ἡμῶν ὅσα βούλοιντο, ἀκούσονται γὰρ παρ' ἡμῶν οὐδὲ γρῦ. Εἰ δέ γε τοιοῦτοι μὲν οὐκ εἰσι, σπείσασθαι δὲ πρὸς ἡμᾶς ἑταιρείαν ἐθέλοντες, τῷ τοῦ Πειριθόου ταὐτὸν μεμηχάνηνται, δέχομαι τὴν ἑταιρείαν ἀσμένως [4]) καὶ τοῖς ἀνδράσι συσπένδομαι, οὐδ' ὡς ὁ Σόλων τὸν Σκύθην ἐκεῖνον Ἀνάχαρσιν ἀποπέμπομαι. Εἰ δέ γε τοῦτο οὔθ' οὕτως οὔτε ἐκείνως ἔχον ἐστίν, ἀλλ' ἄρα τῷ τρίβωνι καὶ τῇ περιτιάρᾳ [5]) γεγαύρωνται, ἴστωσαν ὡς Κυμαῖοι μὲν ὄνοι

---

1) Haec epistola ab Hamakero in Bibl. critica nova IV. p. 379 sq. in lucem publicam prolata est. Respondet Chil. IV. vs. 784. ad Chil. V. vs. 185. Tzetzes Aristophanis Ranas ante oculos habuisse videtur in scribendo, quum plura vocabula inde petita sint, e. g. ἐπιφυλλίδες et στωμύλματα (Ranae 92.), μελιτίδης et μαμμάκυθος (Ranae 990 sq.).

2) A Schol.:

Βέκος, τέκος, πέκος τε σὺν τούτοις ἅμα,
Ἓν κάππα σε χρὴ τεχνικῷ λόγῳ γράφειν·
Αἰολεῖς γράφουσι κάππα δ' αὖ δύο.

3) In Chil. Hist. 6. vulgata lectio ἀκκώ, sed ibi quoque nostri codd. μακκώ. Cf. Arist. Eq. 395.: καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον, ubi Schol. etym. affert: μακκώ, ἐνεὰ καὶ βαρέως νοοῦσα.

4) A Schol.: ἥδω ἥσω, ἥσμενος καὶ ἄσμενος· τὸ δὲ οὐκ ἀσμένη τὸν ἐξ ἐμοῦ δέχῃ λόγον. Ἰώνων καὶ Αἰολέων.

5) A Schol.: Περιτιάρα, κίδαρις, περικεφαλαία λευκή, περιτίαρον.

λεοντιῶντες [1]), ἀνθρωπιῶντα δ' ἄττα πιθήκια ἐλεγχθήσονται. Εἰ δ' ἄρα καὶ ἄλλως πως φρονηματώδεις καὶ δοκητίαι τυγχάνουσι, μὴ κατὰ τὸν Πάριν ἐκεῖνον Ἀλέξανδρον, ὄπισθεν τοῦ τάφου τοῦ Ἴλου ἑστῶτες, λαθρηδὰ πρὸς ἡμᾶς τὰ βέλη ἐπιπεμπέτωσαν· κατὰ γὰρ τὸν Εὐριπίδην [2])

Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
Κτεῖναι τὸν ἐχθρὸν, ἀλλ' ἰὼν κατὰ στόμα·

ἐκ δὲ τοῦ προφανοῦς,

Τῶν [νῦν] ὅντινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Δεῦρ' ἴτω [3]).
Οὐ γὰρ ἐγὼν ἔρριγα μάχην, οὐδὲ κτύπον ἵππων [4]).
Οἶδ' ἐπὶ δεξιὰ, οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν [5]).
Οἶδα δ' ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ [6]).

Οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλω κατὰ τὸν τραγικὸν ἐκεῖνον Αἰσχύλον τὸν Ἐλευσίνιον [7]). Μὴ θρασυνέτω δὲ αὐτοὺς καθ' ἡμῶν ἡμῶν τὸ οἰκούρημα καὶ τὸ ἠρεμαῖόν τε καὶ ἀκόμπαστον· καὶ γὰρ καὶ τὸν Ἀχιλέα ὁ Λυκομήδους ὑπέκρυπτέ ποτε παρθενών, καὶ οἱ Ἕλληνες τῶν Τρώων κραυγῇ κλαγγαζόντων ἠρεμαιότερον ἐπορεύοντο, ἀλλ' ὅμως οἵ τε Ἕλληνες τῶν Τρώων ἦσαν οὐχ ἥττονες καὶ Ἀχιλεὺς ἁπάντων διαπρεπέστερος, κἀμοὶ δὲ ὁμοίως αὐτοῖς ἐστὶ νοῦς μὲν ἀκόμπαστος

Χεὶρ δ' ὁρᾷ τὸ δράσιμον· [8])

ἀλλὰ τοὺς ἔγωγε ἀναχωρήσαντας κελεύω ἐς πληθὺν ἰέναι, μὴ δ' ἄντιον ἵστασθ' ἐμεῖο [9]),

Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν [10]).

Σωφρονιζέτωσαν αὑτὲς πρίν τι κακὸν παθέειν, Μολιονίδαι καὶ Κακοὶ καὶ Ἄσβολοι, οἵ τινες εἶναι δοκοῦντες πάλαι παρ' ἑαυτοῖς, τῷ Ἡρακλεῖ καθεύδοντι ἐπιθέμενοι, ἔγνωσαν οἵ τινες ἄρα ἐτύγχανον· οἱ μὲν γὰρ ἄθυρμά τι τούτῳ γεγόνασι, Κακὸς δὲ τὰς Γηρυόνου βοῦς ὑφαιρούμενος πρὸς τῷ αὐτοῦ σπηλαίῳ ἀνῄρητο·

---

1) Vox λεοντιάω nonnisi in Chil. IV, 937. et h. l. reperitur.
2) Eurip. Rhesus, v. 510 sq.
3) Hom. Il. VII, 74 sq.
4) Hom. Il. XVII, 175.
5) Hom. Il. VII, 238.
6) Hom. Il. VII, 241.
7) Sept. adv. Theb. 550.
8) Aesch. Sept. 554.: Ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον.
9) Ex Iliad. XX, 196.
10) Hom. Il. VI, 127.

Ἄσβολος [1] *δ' οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων,*
Ὑψηκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος κατὰ πεύκης
Ἄγκειτο μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

Ταῦτα φυλαττέσθωσαν μὴ παθεῖν καὶ αὐτοί, μήπως καὶ παρά τινος ἴσως αὐτῶν κακωτέρου ἀκούσειαν, τὴν Διονυσίου τραγῳδίαν ἐπᾴδοντος αὐτοῖς προσαρμόζουσαν. Φησὶ γὰρ ἐκεῖνος ὁ τύραννος οὑτωσὶ μετρικῶς ἐκβοῶν·

Αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.
Ἀνέξομαι γάρ, εὖ ἴσθι, οὐδαμῶς τοιαῦτα ἀκούειν [2]*·*
Οὐ γὰρ ἐμὸς πέφυκε ταρβήμων νόος,
Οὐδ' ἀχαριτόγλωττός [3] *εἰμι πρὸς λόγους,*
Ἀλλ' οἶδα νωμᾶν εὐφυῶς τὴν ἀσπίδα,
Οἶδα κραδαίνειν δεξιῶς ἄγαν δόρυ,
Ἑλῶ τὸν ἵππον, οὐ πέφρικα τὸν κτύπον,
Τῇ συστάδην γέγηθα τῶν ἄλλων πλέον,
Καὶ τόξα τείνων οὐ πτοοῦμαι τὰς μάχας [4].

---

1) Epigramma in Asbolum, quod cum aliqua diversitate in Chiliadibus exstat et in Tzetzae Exegesi Homerica, debemus Philostrato in Heroicis p. 748. In reliqua varietate omnes conspirant in absurdam lectionem *ἀπ' εὐλιπέος κατὰ πεύκης*, quod vitium ex judicio Hamakeri tolletur, si legas *ἐπ' εὐλιπέος μαλὰ πεύκης Ἄγκειμαι.* In Chil. legitur *ἄγκειται.*

2) Errat Matranga (Anecd. Gr. I. p. 15.) qui etiam sequentia usque ad finem epistolae e quadam Dionysii tyranni tragoedia deprompta vult, ideoque metri caussa corrigendum coniicit: *ἀνέξομ' εὖ ἴσθ' οὐδαμῶς ταῦτ' ἀκούειν.* Interposita hac prosa oratione versus sequentes a Dionysii loco laudato (cf. Chil. V, 185.) separantur, et illi quidem lusus musae Tzetzeanae esse videntur.

3) A Schol.: *ἀχαριτόγλωττος — καὶ ἕν (ἣν B) τῶν δασέων ἐκτείνει οἷς παρ' Ἱππώνακτι τόδε, ἢν αὐτὸν ὄφις τὠντικνήμιον δάκοι* (cf. Poet. Lyric. Bergk. p. 520. et ad Lycophr. v. 234. ubi *δάκῃ*), *καὶ παρ' Αἰσχύλῳ* (Choeph. 1046) *φαιοχίτωνες (φαινοχίτωνες B.) καὶ πεπλεκτανημέναι δεινοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ. οὕτως ἔχεται τοῦτο καὶ κανόνος· τὸ δὲ πλέον ὅτι τότε καὶ διχρόνοις κατεχρώμην, ὡς οἱ βέβαλοι· ὅθεν ἀβοήθητον δίχρονον ἐςὶν ἐν αὐτοῖς· τὸ ἀχαριτόγλωττος τὸ ρι.*

4) Legitur haec epistola prima in libro ms. A post finem prioris partis Chiliadum, caeterae epistolae ordine non interrupto ante Chil. V, H. 1. exstant. Qua de re in margine Codicis A post primam epistolam adscriptum legis: *Τῇ ἡμετέρᾳ γραφῇ κατὰ τὸ πρωτότυπον ἐγράφη· ὅπερ τυχαίως καὶ αὐτοσχεδίως γράφων ἐγὼ οὕτω τὴν τάσιν ἀτάκτως καὶ πεφυρμένως ἐποιησάμην. Τοῖς δὲ λοιποῖς μεταγράφουσι λέγω καθεξῆς ἀδιασπάστως τὰς πάσας ἐπιστολὰς συνθέσθαι συνηνωμένως. Πρόσχες τὸ λοιπὸν πᾶς θέλων μεταγράφειν, κἂν τῷδε γράψῃς οὐ γράψεις πάλιν.* Cf. Matrangae Anecd. Gr. I. p. 14. ubi eadem notula nonnullis vitiis depravata et ad finem auctior hujuscemodi ex Codd. Vat. laudatur: *τοῖς δὲ λοιποῖς μεταγράφουσιν εἶπον καὶ συνέθεντο* (al. *λέγω καὶ συνθέσθαι*) *καθεξῆς ἀδιασπάστως τὰς*

β. ΤΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΚΟΥΚΕΥΜΑΙ [1]).

Οἶμαί σε τῷ τῶν τοσούτων ἡμερῶν ἀριθμῷ, τοῦτο γάρ μοι ἐτύγχανες ἐγκαλῶν, τῶν τῆς ἐκστρατείας πόνων ἀναπεπαῦσθαι, κἂν ὑπὲρ τὸν ἐν μύθοις λογοποιούμενον Ἄτλαντα δυσβάστακτον οὕτω καὶ οὐκ εὐάγκαλον [2]) φορτίον ἐπέφερες. Καὶ γὰρ καὶ ἐκεῖνος ὁ Ἄτλας πλάττεταί τε καὶ γράφεται τὸν οὐρανὸν τοῖς ὤμοις βαστάζων καὶ ὑποκλάζων τῷ βάρει· ἱδρῶτί τε πολλῷ περιῤῥεῖται καὶ περιπνεῖται τῷ ἄσθματι. Κἂν γοῦν καὶ ὑπὲρ τοῦτον φορτίον εἶχες ὠμάδιον, ἀλλ᾽ ἥ γε ἐς τοσοῦτον ῥαστώνη τε καὶ τὸ νωχελὲς καὶ ἀνέσιμον ἐξεκεκρούκει ἂν οἶμαι τὸν ἐκ τοῦ ἄχθους σοι κάματον. Μὴ γοῦν λοιπὸν ἔτι μοι προφασίσῃ τινὰ εὐπρόσωπον πρόφασιν, μηδ᾽ εἰς κενὸν ψαλάξαντας ἡμᾶς ἀποδείξειας, ἀλλ᾽ ἐρευνήσας στεῖλον ἡμῖν τὸ βιβλίον εὐκόλως ὥσπερ ἀπέλαβες· ἄφιλος γὰρ ἂν εἴης, εἰ μὴ τοῦτο ποιήσειας. Ἔῤῥωσο.

γ. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΤΟΥ ΚΥΡΙΟΥ ΜΙΧΑΗΛ ΤΩΙ ΒΟΥΡΤΖΗΙ [3]).

Οὐκ αἴτιος ἐγὼ τριπόθητε τοῦ μὴ γράφειν σοι οὐδ᾽ ἀφιλίαν ὡς ὀνειδίζεις νενόσηκα· μή με ταῖς ῥητορικαῖς πειθανάγκαις καὶ τοῖς τῶν λόγων κομψότησι παραλογίζεσθαι νόμιζε· οὐκ αἴτιος ἐγὼ οὐδαμῶς, μᾶλλον δὲ σὺ ὁ τριβέλτιστος. Τότε γὰρ ἡ γραφὴ πολιτεύεσθαι εἴωθεν, ὅταν οἱ ὀφθαλμοὶ τὸ ἑαυτῶν ἀδυνατῶσιν ἐργάζεσθαι μήκει ὁδοῦ κωλυόμενοι· σὺ δὲ πρότητες κατὰ τὴν παρ᾽ ἡμᾶς ἀγορὰν διερχόμενος, μᾶλλον δὲ καὶ στὰς ἐν αὐτῇ παρ᾽ ἡμῶν καλούμενος οὐκ ἠθέλησας εἰς τὸ ἡμῶν δομάτιον εἰςελθεῖν καὶ ἡμᾶς ἐπισκέψασθαι. Καίτοι γε καὶ μόνον εἴπερ ἐφίλεις ἔδει σε τοῦτο πεποιηκέναι· οὐ γὰρ ὑπὸ κήρυκός τινος ἢ προκλήτορος δεῖ τοὺς φιλοῦντας πρὸς τοὺς φίλους εἰσέρχεσθαι, ἀλλ᾽ ἀκλητὶ καὶ κατὰ τὸν ὁμηρικὸν ἐκεῖνον Μενέλαον. Οὗ δὴ χάριν [4]) ἐγὼ πάμπολα λυπηθεὶς τῇ

πάσας ἐπιστολὰς καὶ ἑξῆς πάλιν συνηνωμένως τὸν τῇδε κείμενον τῶν βραχειῶν ἱστοριῶν βραχύτατον πίνακα καὶ τὸν τῶν λοιπῶν ἱστοριῶν μέγιστον πίνακα· χοιροδίου δὲ υἱῷ ἐμπιστεύσας τὴν παροῦσαν μεταγραφὴν καὶ δοὺς καὶ μισθὸν τούτῳ καλλιγράφου λόγου ἀξίου καὶ εἰπὼν οὕτω μεταγράψαι καὶ αὐτὸν ὡς χοῖρον ὄντως ἐχ εὗρον καταπειθῆ ἀλλὰ πολλαχῶς κοπρώσαντα τὸ βιβλίον. Πρόσχες τὸ λοιπὸν κτλ.

1) Cf. Hist. 1. 2.

2) Cf. Aesch. Prom. 357.: *Ἕστηκε, κίον᾽ οὐρανοῦ τε καὶ χθονὸς Ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.*

3) Cf. Hist. 3. 4.

4) A Schol.: *Χάριν καταχρηστικῶς ἀντὶ τοῦ ἕνεκα.*

σῇ γραφῇ οὐκ ἀντέγραψα, ἡ δ' ἀγάπη οὐ τῆς ἐμῆς καρδίας ὡς γράφεις ἀπέπτατο, ἀλλ' ἔνδον ἐνδόμυχος ἐν στέργοις μένει. Τὸ δέ γε ζωνάριόν ἐστι παρ' ἐμοὶ καὶ φυλάττεται, ὅπερ σοι δι' ἀποστολῆς εἴτε καὶ αὐτοχείρως δοθήσεται. Σὺ δὲ μοι ὑγίαινε καὶ εὐοδοῦ ἐν τοῖς πράγμασιν, ἐν πᾶσιν ὑπείκων τοῖς συγγενέσι τοῦ θείου προστάγμασι· καὶ εἰ οὐδὲ γραφῆς ἀξιοῖς ἡμᾶς οὐ φροντιοῦμεν περὶ τούτου. Τοῦτο γάρ μοί ἐστι καὶ γραφὴ καὶ καλὴ ἀγγελία καὶ τῶν καλῶν ἁπάντων τὸ κάλλιστον, τὸ καλῶς ἔχειν σε. Βραχεῖαν ἀντιγραφήν σοι κατὰ τοὺς Λάκωνας ταύτην ἀντέγραψα μεγάλης ἀγάπης ἐμπόρευμα περισώζουσαν. Ἔρρωσό μοι τριπόθητε.

δ. ΤΩΙ ΠΡΩΤΟΝΩΒΕΛΛΙΣΙΜΩΙ ΚΥΡΙΩΙ ΜΙΧΑΗΛ ΤΩΙ ΤΑΡΩΝΙΤΗΙ [1]).

Ἀλλὰ καὶ Σόλων ἐκεῖνος ὁ Ἀθηναῖος ὁ περιβόητος, τριπόθητέ μοι πανσέβαστε (μαντεύομαι γὰρ ἐπευχόμενός σοι τὰ κάλλιστα), ἧκέ ποτε παρὰ τὴν ὑπὸ Κροῖσον ἀρχήν. Εὐθὺς δὲ λόγος πολὺς ἐφέρετο τοῦ ἀνδρός· ὁ δέ γε Λυδὸς ἐκεῖνος ἀνὴρ κομποῤῥηματοχρηματομετεωροφρέναξ ὢν καὶ τῇ ἀλαζονείᾳ ὑπεραιθέριος ἡμέρᾳ τακτῇ τὸν φιλόσοφον εἰς τὸ τούτου παλάτιον εἰςιέναι παρακελεύεται, ὡς τὴν ἐκείνου δῆθεν εὐδαιμονίαν θαυμάσαντα, ὡς ἐκεῖνος ᾤετο. Πῶς δ' ἂν εἴποις παρὰ τὸν τῆς ὑποδοχῆς ἐκείνου καιρὸν φιλοκάλως ἐξέστεψεν ἅπαντα, τὰς ἀγυιάς, τὰς οἰκοδομάς, τὰ τῶν δόμων προπύλαια, τοὺς οἰκέτας, τοὺς ἡγεμόνας, τοὺς στρατηγοὺς τῶν δυνάμεων. Ὡς δὲ καὶ καιρὸς ἦν ἤδη τὸν ἄνδρα γενέσθαι πρὸς τὰ βασίλεια, τοὺς παρεστῶτας ἅπαντας εἶναι Κροίσους ἐνόμιζεν· ἑώρα γὰρ ἐκείνους χρυσῷ καὶ πορφύρᾳ καὶ πολυτελέσιν ἐσθήμασι διαλάμποντας. Ἀλλ' ἐκεῖνος μετὰ μικρὸν καὶ τὸν Κροῖσον ἑώρακε καὶ τὴν διαφορὰν ὁποίαν εἶχε πρὸς ἐκείνους μεμάθηκε, πλὴν καὶ ἑωρακὼς οὐ τεθαύμακεν. Οἱ δέ γέ σοι θεράποντες ὑπὸ τὴν ἐμὴν ἐλθόντες τῆτες οἰκίαν αὐτόκλητοι τἄλλα [2]) μὲν κατὰ ταὐτὸν ἐκείνῳ πάνυ πεπόνθασι, τὸν δέ γε

---

1) A Schol.: *Τῆς παρούσης ἐπιστολῆς ἡ ἰδέα σεμνότης γλυκύτητι διόλου συγκεκραμμένη. Τὰ διθυραμβώδη ταῦτα μόνοις τοῖς ἀστεϊσμασι εἰσὶ προσφυῆ· καὶ κωμῳδίων τοῖς συγγράμμασι, καὶ εἴ τις οἶδε τὰ νῦν λυρικὰ γράφειν ποιήματα· ἀπρόσφορα (ἀπρόσφορ... A ἀπρός* suprascr. *φρ.* B.) *καὶ γελοῖα ταῖς λοιπαῖς συγγραφαῖς.* Cf. Hist. 5. usque ad Hist. 11.

2) A Schol. *τ' ἄλλα·*

Ὄξυνε τ' ἄλλα, μὴ περίσπα δυστέχνως·
Ἐκ γὰρ βαρείας πρῶτον ὀξείας μετὰ (μέτρον B)
Τὴν σύνθεσιν εἴληχεν· οὐ τοὐναντίον.
Ἅπαν δ' ὅπερ σχῇ σύνθεσιν τοίαν φέρειν,
Εἴτ' ἐκ βαρειῶν σύνθεσιν ἔχει, δύο,

ἐμοὶ γειτνιῶντα Κροῖσον καὶ μὴ ἰδόντες ὑπερεθαύμασαν, ἐκ τῶν ὑπ' αὐτὸν ἐπιγνόντες αὐτόν, καὶ ἡμᾶς τῆς γειτνιάσεως εὐδαιμόνισαν· τοιοῦτος γὰρ ὁ ἐμὸς γειτνιῶν Κροῖσός ἐστιν. Οὐ γὰρ ἐγὼ παρ' ὕδασι θολεροῖς παροικῶ, οὐδὲ κατὰ τοὺς χοιρόφρονας βορβόροις ἢ βαρβάραις ἐπαναπαύομαι, ἀλλὰ τὰς καλιὰς ἐξ ἀρωμάτων κατὰ τὸν φοίνικα πήγνυμαι ἔνθα διαῤῥέον ὕδωρ ἐστὶ διειδὲς, καὶ θηρεύομαι τοῖς εὐώδεσιν ὥσπερ μονόκερως καὶ κατὰ τοὺς ἰκτίνους ἢ ὕδωρ αἰθέριον πίνειν φιλῶ ἢ δίψει θανεῖν μοί ἐστιν αἱρετώτερον· βρώματα δέ μοί ἐστι ποθεινὰ τὰ κάλλιστά τε καὶ ζῶντα καὶ πρόσφωτα· οὐδὲ γὰρ κατὰ τῶν θηριογνωμόνων τοὺς συρφετώδεις τοῖς ὀδωδόσι [1]) σαρκίοις ἐκτρέφομαι, ἀλλὰ κατὰ τοὺς βασιλεῖς τῶν θηρίων τοὺς λέοντας νεκρῶν σωμάτων οὐχ ἅπτομαι· ἀτυχῶ δ' ἐν οἷς εὐτυχῶ, καὶ παρὰ τῶν οὐκ εἰδότων εὐδαιμονίζομαι ταντάλειον [2]) πάσχων τὴν κόλασιν· ἐν μέσῳ γὰρ καθαρῶν καὶ ποτίμων ὑδάτων ἑστὼς τῷ διψῇν ἐκφλογίζομαι, καὶ δένδρων ὀπωροφόρων ὡραίων περὶ ἐμὲ παντοίων ἑστώτων οὐκ ἔξεστί μοι καὶ ποθοῦντι καταλαβεῖν τοῦ καρποῦ, ἀλλ' εἴθε μοι τὸ σοβαρὸν τὸ τοξοφόρον παιδάριον, οὗ τὰς βολίδας ἐδεὶς ὑπεξέφυγε, ποτίσοι μὲν εἰς κόρον τῶν διαυγῶν καὶ γλυκέων τούτων ὑδάτων καὶ τὰς ἰθυτενεῖς τῶν δένδρων ἐπικλίνοι μοι κορυφὰς καὶ τῆς ὀπώρας ἐμφορηθείην, ὡς ἂν μηκέτι μάτην παρὰ τῶν οὐκ εἰδότων εὐδαιμονίζομαι.

ε. ΤΩΙ ΛΟΓΑΡΙΑΣΤΗΙ ΚΥΡΙΩΙ ΠΟΛΥΕΥΚΤΩΙ [3]).

Τὴν μὲν ἡμίονον ἀπελάβομεν καὶ ὑμῖν τῆς ἀγάπης εὐχαριστήσαμεν, πλὴν ἀλλ' οὐχὶ καὶ ἔποχοι ταύτης γενέσθαι κατηξιώθημεν. Βασκαίνει γὰρ ἡμῖν τὸ δαιμόνιον ἄχρι καὶ τῶν λεπτῶν, ἀλλ' ὑμῖν μὲν τῆς φιλίας εἵνεκα χάρις. Ἐγὼ δὲ ἕτερον μὲν αἰτιῶμαι οὐδένα ἢ κατὰ Ἰώσηπον τὴν ἄδικον εἱμαρμένην, ἥτις πολλοὺς μὲν μηδὲ χειρόμακτρον ἔχοντας τροφὴν

Ὀξὺν, βαρὺν φέρουσιν ἐντέχνως τόνον.
Τἄλλα μὲν αὐτὸ καὶ βεβὼς, ἑστὼς, λέγω·
Ἡρακλέης δ' αὖ ἡρακλῆς· θαλῆς ἅμα,
Καὶ πᾶν ὅπερ εἴληχεν ὀξεῖαν φέρειν,
Εἶτα βαρεῖαν, τὸν περισπῶντα τόνον
Ἀσπάζεται κάλλιστα τεχνικῷ λόγῳ.

1) An legendum ὀδώδεσι? Cf. Hippocr. p. 295, 4.: ὕδατα κρημναῖα καὶ στάσιμα καὶ ὀδώδεα, ubi tamen sec. Galen. Gloss. legendum est ὀλώδεα.

2) A Schol.: ταντάλειον· στίχοι Εὐριπίδου·
Πέλοψ ὁ Ταντάλειος εἰς Πίσσαν μόλων (Iph. T. 1.).

3) Cf. Hist. 12. 13.

δὲ μαγδαλιὰν[1] *ποιουμένους καθάπερ οἱ κύνες ἐν ἀνθρώπων τετίμηκεν ἀριθμῷ, ἡμᾶς δὲ ἐξ ἀγαθοῦ κατηγμένους τοῦ γένους καὶ οἷοι τυγχάνομεν ὄντας ἄχρι καὶ τῶν τοιούτων βασκαίνουσαν.*

ϛ. *ΤΩΙ ΕΥΣΕΒΑΣΤΩΙ ΚΥΡΙΩΙ ΙΣΑΑΚΙΩΙ ΤΩΙ ΚΟΜΝΗΝΩΙ*[2].

Τοῖς παλαιοῖς ἐκείνοις ἀνδράσι τοῖς ἥρωσιν ἔθιμον ἦν, κυδρότατε Σεβαστέ, εἴ ποτε τῆς ἑαυτῶν πατρίδος ἀπάροιεν, συμβαίη δέ τινα ἐξ αὐτῶν ἐπὶ τῆς ἀλλοτρίας ἀποθανεῖν, τοὺς ἔτι περιόντας παλινοστοῦντας τρισσάκις τὸν τεθνηκότα ἐκεῖνον ὀνομακλήδην καλεῖν, ἱκανὸν οἶμαι δοκοῦντας αἴσθησιν ἐμποιῆσαι καὶ ἀναισθήτοις νεκροῖς τὸ τριττὸν ἐπιφώνημα. Ἐγὼ δὲ οὐκ ἀποπτόλιδι ὄντι οὐδ' ἐκδημοῦντι καὶ ἀναισθήτῳ νεκρῷ, ἀλλὰ προσπάτριδι καὶ εὖ μάλα αἰσθανομένῳ καὶ ζῶντί σοι τρισσάκις ἤδη κατ' ἐκείνους προςεπιφθέγγομαι· ἐπεὶ καὶ ἀγνώμων ἂν εἴην, εἰ μηδὲ τοὺς ἰταλοὺς μιμησαίμην ῥωμαίους τοὺς Αὔσονας, ἀλλὰ καὶ αὐτῶν βαρβαρώτερος τῇ γνώμῃ ἀποφανθείην. Κἀκεῖνοι γὰρ εἰ καὶ θηριώδεις εἰσί πως καὶ βάρβαροι, ἀλλ' ὅμως οὐκ ἀκηρυκτεὶ, κατά γε τὸ παλαιὸν, πόλεμόν τισιν ἀνεῤῥίπιζον, ἀλλὰ λόγχην πρότερον ὥσπερ τινὰ λόγον πολέμου πρόαγγελον ἐπεῤῥίπτουν, εἶτα καὶ τοῦ πολέμου κατήρχοντο. Εἰ δέ γε καὶ μέχρι νῦν τὸ ἔθος τοῦτο ἐπικρατοίη, σὺ ἂν ἄμεινον εἰδείης ἐμοῦ, ἅτε δήποτε πολέμοις ἠσχολημένος καὶ τὰ τούτων εἰδώς. Εἰ γοῦν ἐκεῖνοι καὶ θηριώδεις ὄντες καὶ βάρβαροι οὐκ ἀκηρυκτεὶ τοὺς πολέμους, εἴ γε τέως μὴ νῦν, ἀλλά γε τὸ παλαιὸν ἀνεῤῥίπιζον, πόσῳ μᾶλλον ἐμὲ δεῖ ταῦτα φυλάττεσθαι, ἐκ τῶν εὐγενεστάτων Ἰβήρων τῷ γε μητρῴῳ γένει καθέλκοντα τὴν σειρὰν, ἐκ δέ γε πατρὸς καθαρῶς τυγχάνοντα Ἕλληνα. Ταύτῃ τοι καὶ τρισσάκις σοι ἤδη προςεπιφθέγγομαι καὶ τὸ τοῦ Φαιστίε λέγειν Ἐπιμενίδου προάγομαι. Ἐπιμενίδης γάρ ποτε οὗτος ὁ Φαίστιος ἐς τὴν Ἐρεχθέως ἐλθὼν καὶ τὴν Μευνυχίαν ἰδὼν, χωρίον δὲ τῦτο ταύτης τῆς πόλεως, κατανοήσας ὅσα τὴν πόλιν λυμήνασθαι ἔμελλε, τυφλὸν, εἶπε, τοῦ μέλλοντος ἄνθρωπος[3]*· εἰ γὰρ ᾔδεσαν Ἐρεχθεῖδαι ὅσα τὴν πόλιν αὐτῶν τουτοὶ τὸ χωρίον λυμήνηται, κατέφαγον ἂν αὐτὸ τοῖς ὀδοῦσι. Τοῦτο κἀγὼ περὶ τοῦ Λεπρέου*[4] *τοῦ σοῦ γραμματέως κατὰ ταὐτά σοι τῷ Ἐπιμενίδῃ προσφθέγγομαι, καὶ παραινῶ ἱκετεύων σε ἐπ' ὄνου ἢ χοίρου*

---

1) Proverbium erat de catillonibus et parasitis *κύων ζῶν ἀπὸ μαγδαλίας.*

2) Cf. Hist. 14. usque ad Hist. 71.

3) Cf. Plut. Solon. c. 12.: *οἷς τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος κτλ.*

4) A Schol. ad *Λεπρέου· Τόπος τὸ Λέπρεως νῦν δὲ τὸ λέπρεως τὸ λέπρον λέγω ἀπὸ εὐθείας, τῆς ὁ λέπρεος, τοῦ λεπρέου.*

τιτανοχρίστου δημεῦσαι αὐτὸν καὶ τῆς σῆς ἐξελάσαι χειρός, πτῶμά τι καὶ μορμολύκειον ὄντα καὶ κάθαρμα καὶ τῆς σῆς εὐγενείας ἀλλότριον. Εἰ δ' οὔ, ὑπέρ γε τὸ μῆλον ἐκεῖνο τῆς ἔριδος τὸν ὀσμίλον[1] *τῦτον εὑρήσειας, ἴσθι γὰρ ὡς δι' αὐτὸν καὶ παρ' Αἵδη στενάζουσιν οἱ γεγονότες τρισμάκαρες ἐκεῖνοι καὶ ἥρωές ποτε γραμματεῖς, Ἑρμῆς τε ὁ πάντων ἀνθρώπων κοινὸς γραμματεύς, κατ' ἐξαίρετον δὲ τῦ βασιλέως τῶν Ἀσσυρίων Ὀσίριδος*[2] *καὶ Βελεσὺς ἐκεῖνος ὁ Βαβυλώνιος ὁ τῷ Ἀρσάκῃ τῷ βασιλεῖ τῶν Μήδων ἐν ταῖς γραφαῖς ὑπεργῶν, ἔτι δὲ σὺν αὐτοῖς Παλαμήδης τε ὁ Ναυπλίυ, Σίσυφός τε ὁ Κῷος καὶ Δίκτυς ὁ Κρὴς, τῆς ὁμηρικῆς ἰλιάδος τὸ ἀκροθίνιον, καὶ Τεῦκρος ἐκεῖνος ὁ τῦ Φαλάριδος καὶ Ἀρχιμήδης, ὁ τῦ Ἱέρωνος, καὶ οἱ τῶν Περσῶν βασιλέων Δαρείυ καὶ Ξέρξυ, οἵ τινες τὸν ἀττικὸν ἀπεγράφοντο πόλεμον, καὶ οἱ ἀττικοὶ γραμματεῖς Κέφαλος, Κτησιφῶν καὶ ὁ Τίμαρχος Δημοσθένης τε καὶ οἱ ἕτεροι καὶ ὁ Βυζάντιος Πύθων, ἔτι δὲ ὁ τῦ Πορσέννα τῦ Τυῤῥηνῦ γραμματεὺς*[3] *ὃν Πορσένναν ὁ Μώκιος ὁ Ῥωμαῖος ἀνεῖλε κατόπτης γενόμενος Τυῤῥηνῶν, προσέτι δὲ ὁ Σικελίας τύραννος Διονύσιος ὕστερον γενόμενος γραμματεὺς καὶ ὁ τῦ βασιλέως Περσέως τῦ Μακεδόνος υἱὸς αἰχμάλωτος γεγονὼς καὶ τότε παρ' ἰδιώτῃ καὶ οὐ βασιλεῖ γραμματεύων λατίνῳ, Σομνᾶς τε καὶ Ἑλιακεὶμ οἱ Ἐζεκίου γραμματεῖς καὶ ὁ τοῦ Ἡρώδου Διόφαντος, ὅς παραχράττων βασιλικὰ γράμματα συλληφθεὶς ἐτεθνήκει, καὶ οἱ τῆς Κλεοπάτρας τῆς κλεινῆς βασιλίδος καὶ ὁ τῆς Ἰουλίας Φιλόστρατος καὶ οἱ ἕτεροι πάντες, ὓς ὀνομακλήδην θεὸς ὡς ἀγορεύειν οὐ δύναμαι· ὑπὲρ ὧν ἁπάντων ἐγὼ ὑπέρ τε ἐμῦ ἑαυτῦ πόλεμόν σοι ἀρῦμαι ἐκ εὐκατάσπονδον, εἰ μή γε τῦτον λεμφώδη*[4] *τε ὄντα καὶ εἰδεχθῆ, μυσαρόν τε καὶ κίναιδον, ἀφωνότερόν τε ἰχθύων καὶ ἀμαθέστερον, δημεύσας τῆς σῆς χειρὸς ἐξελάσειας. Ἴσθι γὰρ ὡς εἰ μὴ τῦτο ποιήσειας, ἐπεί με ψευδόμενον ἀποδέδειχας περὶ σῦ διαῤῥήδην κηρύττοντα τοῖς πολλοῖς σοφόν τέ σε εἶναι καὶ κρίνειν εἰδότα τὰ πράγματα, σὺ δὲ οὐ τοιῦτος ἐφάνης, ἀλλὰ τὸν Λέπρεον τῦτον ὥςπερ τι Βάττυ σίλφιον ἔχεις, ἐπ' ὀνείδει μὲν καὶ ὕβρει τῇ ἐμαυτῦ, ἐπ' αἰσχύνῃ δὲ τῇ σαυτῦ, ἐπ' ἀμφοῖν δὲ τῶν ἐχθρῶν καταγέλωτι, εἰςαγγεῖλαί σε βούλομαι καὶ μεμηνυκέναι πάντων ταῖς ἀκοαῖς,*

---

1) A Schol. ad *Ὀσμίλον· ἡ καλουμένη ὄζαινα· ὀσμύλος ὄνομα ἰχθύος, τοῦτο δὲ τάχα ὡς κύριον ὄνομα, ὡς τὸ Τρωΐλος· Ζωΐλος, ἔγραψα δι' ἰῶτα.*

2) A Schol. *Λήθη γέγονεν· Αἰγύπτιος γὰρ ἦν βασιλεὺς ὁ Ὄσιρις.*

3) A Schol. *Κλούσινος ἐκαλεῖτο τοῦ Πορσέννα γραμματεὺς, καθὰ φησὶ Δίων* (*δίωνι B*).

4) Cf. Schol. Lucian. Lexiphr. c. 18.: *ἀποπλήκτους καὶ λεμφώδεις.*

ὑπὲρ ὧν εὖ μάλα ἐπίσταμαι ὑμῖν εἰργασμένων, καὶ οἶδα ὅτι ἐδεὶς ἂν φρονῶν ἡμᾶς ἀντιάσαιτο, κακὲς ἠναγκασμένες ὑπὸ σᾶ γεγονέναι, εἰ τέως ἄρα τᾶτο κακὸν ἀδικηθέντα σπεύδειν ἐνδίκως τιμωρεῖν τὸν ἐχθρόν. Εἰ δέ τινες ἄρα εἶεν μωμοσκόποι, μεμψίμοιροι καὶ φιλαίτιοι, ἀπρομηθέστεροί τε καὶ ἀσκεπτότεροι, καὶ ἡμᾶς αἰτιῷντο ἀκαίρως, ἀναγνώτωσαν τὸν τᾶ Κεφάλε ἐκεῖνον Λυσίαν τὸν ῥήτορα καὶ εὑρήσειαν Ἀνδοκίδη τὸν ἑαυτᾶ πατέρα μεμηνυκότα· μεταβήτωσαν ἐπὶ τὸν Ἀτρομήτε Αἰσχίνη καὶ Δημοσθένη εὑρήσειαν ἀνεψιὸν ἑαυτᾶ τὸν Δημομέλη μηνύοντα· ἀναγνώτωσαν τὸν Θεόφραστον καὶ εὑρήσειαν Παρμενίωνα προδιδᾶντα Νικάνορα· ἐλθέτωσαν ἐπὶ τὸν Ἰώσηπον καὶ τὲς Ἡρώδε παῖδας εὑρήσειαν ἀλλήλες τῷ ἑαυτῶν πατρὶ προσαγγέλλοντας· ὁ Ἀγυῤῥῖνος Διόδωρος αὐτὲς διδασκέτω τὸν Ξερμοδίγεστον, τὴν Κανδαύλε πάλαι γυναῖκα [1]) Ἡρόδοτος, ὁ Ἡρωδιανὸς τὸν Λαῖτόν τε καὶ τὸν Ἔκλεκτον, Εὐριπίδης τὴν Φαίδραν προδιδᾶσαν Ἱππόλυτον· ὁ Ὀρφεὺς διδασκέτω τὸν Ἕλενον τὴν Τροίαν προδιδᾶντα μαντεύμασιν· ὁ Χαλκιδεὺς ποιητὴς τὸν Ἀντήνορα, ὁ Χαιρωνεὺς Οὐινδίκιον, ὁ Κοκκειανὸς Κοριόλανον, ὁ Ἀντιοχεὺς Ἀγάνην τὸν υἱὸν προδιδᾶσαν εἰς θάνατον, καὶ οἱ λοιποὶ τὲς λοιπὲς, ἵνα μὴ μάτην μακρηγορῶ. Εἰ γᾶν ἐκεῖνοι τὲς ἑαυτῶν ἀγχιστεῖς διὰ μικρά τινα ἢ καὶ ἐδαμινὰ αἰτιάματα μεμηνύκεσαν, τίς ἄρα ἐμὲ λοιπὸν αἰτιάσαιτο, εἴ σε μηνύσαιμι τοσαῦτα παρὰ σᾶ πεπονθότα; Ἢ ἄρα Μαργίτην με οἴει εἶναί τινα, εὐηθικόν τε καὶ ἐπιλήσμονα ἢ καὶ ἄντικρυς λίθον ἀνάλγητον; Ἀλλ' ὦ σοφώτατε Σεβαστέ, οἱ ποιηταὶ καὶ λίθοις τισὶν αἰσθήσεις προςῆψαν, ἐχ ὡς ἀγνοᾶντες μὴ γένοιτο, ἀλλ' ἐκ τᾶ ὑπερβολικᾶ ἡμᾶς παιδεύειν ἐθέλοντες, ὡς ἐδεὶς ἀνθρώπων ἀναίσθητος ἢ καὶ ἀνάλγητος. Αὐτίκα γὰρ ὁ μὲν σοφώτατος Ὅμηρος τὴν Νιόβην λίθινον οὖσαν ἐν Σιπύλῳ φάσκει δακρύειν· Διονύσιος δὲ ἐν αἰγυπτίαις Θήβαις τὸν Μέμνονα, Ὀρφεὺς δὲ οὐ μόνον λαλεῖν ἀλλὰ καὶ μαντεύεσθαι τὴν σιδηρῖτιν λίθον φησίν· τὴν Μάγνησσαν δὲ ἀκέεις ὅπως ἐρᾷ τᾶ σιδήρε· εἴ γε τέως αὐτὴν ἐχ ἑώρακας ἵνα χυτῶν ἀργύρων καὶ λίθων ἑτέρων παραδράμω τὲς ἔρωτας, ἆρα γᾶν φανήσομαι καὶ τέτων ἀναισθητότερος καὶ ἀνάλγητος; Ἀλλ' ὁ Σοφίλου παῖς ἐκ ἐᾷ Σοφοκλῆς φάσκων τὸ μὴ φρονεῖν κακὸν ἀνώδυνον εἶναι [2]). Εἰ γοῦν τὸ μὴ φρονεῖν κακὸν καὶ ἀνώδυνον, τὸ φρονεῖν πάντως καλὸν καὶ ἐπώδυνον, ὃ ἐκ ἐᾷ με σιγᾶν καὶ ἀναλγήτως παραδραμεῖν τὸ κακόν, ἀλλὰ βιάζει καὶ παροτρύνει με καιρὸν εὑρόντα δικαίως τιμωρήσασθαι

1) In A id. fere schol. quod habetur Chil. I, 144.

2) Soph. Aj. 555.: τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν.

τὸν ἐχθρὸν, οὐ πάντως σὺ ἂν γένοιο αἴτιος καὶ ἐχ' ἕτερος. Εἰ μὲν οὖν σὺ τρώσας σὺ καὶ ἰάσαιο[1]), εὖ ἂν ἔχοι· εἰ δ' οὔ, φωνῆς πάντως γενήσῃ κατήκοος, οἵας ποτὲ ὁ Μάρκος Κεδδίκιος[2]). Ἐκεῖνος γάρ ποτε ἤκουσε φωνῆς λεγούσης ἐξ οὐρανοῦ· ἄγε δὴ ὦ Μάρκε Κεδδίκιε διὰ τὰς ὑμῶν ἀδικίας Γαλάτας Γαλάτας ἐνδέχεσθε· σὺ δὲ οὐκ ἐξ οὐρανοῦ, ἀλλ' ἄγε δὴ ἀφ' ἡμῶν, οὐ Γαλάτας ἀκούσειας, ἀλλὰ βασιλέως ὀργὴν δικαιοτάτου ἐκδέχεσθαι, εἰ μή γε τὴν σὴν αἰσχύνην τὸν Λέπρεον τοῦτον δημεύσας τῆς σῆς χειρὸς ἀπελάσειας. Ἐνδείᾳ χάρτου ὡς βλέπεις σεσίγηκα, τῷ πρωτογράφῳ γὰρ χάρτῃ ταύτης τῆς ἐπιστολῆς οὐδὲ γράμματος ἑνὸς χώρημα ὑπελείφθη.

ζ. ΩΣ ΑΠΟ ΤΙΝΟΣ ΔΙΑΚΟΝΟΥ ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ[3]).

Ἡγιασμένε μοι δέσποτα, ἡ τῶν γεηρῶν πραγμάτων φορὰ ὡς ἐκ φύσεως ἀειρρόως κυβευομένη καὶ μεταπίπτουσα νῦν καιρὸν ἡμῖν ἐπεισήγαγε διαιτητὴν ἀκριβῆ καὶ ταλαντοῦχον φιλίας ἐπιγνώμονα· δείξεις δὲ νῦν καὶ αὐτὸς εἰ μὴ τηνάλλως ἦσαν μῦθοι τὰ πρώην λεγόμενα παρὰ σοῦ, ὡς ὑπὲρ ἡμῶν ὑπερλαλήσαις ὁλοσχερέστερον χηρευούσης τινὸς ἐκκλησίας τοῦ ναυκληροῦντος αὐτὴν, καὶ ὡς δείξαις φιλίαν ὄντως ἀκραιφνεστάτην καὶ ἀπροσποίητον καὶ τῆς σῆς εὐγενείας ἐπάξιον. Καλεῖ γάρ σε μονονουχὶ αὐτὸς ὁ καιρὸς, ναὶ μὴν καὶ ἡ χηρεύουσα Μίδεια πληρῶσαι ἀκραιφνεστάτην σε τῆς φιλίας ὑπόσχεσιν ἀγωνισάμενον λίαν καλῶς ὑπὲρ ἀνδρὸς γνησίου καὶ φίλου τοῦτον τὸν δίαυλον. Εἰ δέ γε τοῦτον ἀεθλεύσας πληρώσεις τὸν ἄεθλον, τὰ μὲν λοιπὰ τῆς φιλίας σιγῶ, τοῦτο δὲ οὐκ ὀκνήσαιμι τρανότερον ἐπιφθέγξασθαι, ὡς μία ποίμνη ἐσεῖται, ἥτε σὴ καὶ ἡ Μίδεια. Ἐγὼ δὲ ἄσχολος μυρίαις γενόμενος δουλείαις καὶ περιστάσεσιν αὐτοπροσώπως ἰδεῖν σε οὐκ ἴσχυσα διὰ τὸ μὴ ἐξελθεῖν με πάντως αὐτόθι· εἰδὼς δὲ τὴν φιλίαν ὅσα καὶ δύναται διὰ τῆς παρούσης γραφῆς μου, ἠξίωσα τὴν σὴν μεγαλοφιλίαν ἅμα καὶ μεγαλόνοιαν τῶν φιλικῶν θεσμῶν μὴ λαθέσθαι. Ἔρρωσό μοι ἡ ἱερὰ κεφαλὴ καὶ αἰδέσιμος.

η. ΤΩΙ ΚΑΛΟΡΑΒΔΑΙ ΚΥΡΙΩΙ ΑΝΔΡΟΝΙΚΩΙ[4]).

Ἐγὼ μὲν γραφαῖς Ὁμηρικαῖς ἐντυγχάνων, γλυκύτατόν μοι τεκνίον Ἀνδρόνικε, μύθους ὄντως ἡγέμην λωτόν τε τὸν θρυλλούμενον καὶ σειρῆνας

---

1) *Ὁ τρώσας καὶ ἰάσεται*, oraculum Telepho ab Achille vulnerato redditum, quod in proverbium abiit.

2) AB in Chiliad. et Ep. semper *κεδδίκιον* legunt. Cf. Plut. Camill. 14.: *ἄγε, Μάρκε Κεδίκιε, λέγε πρὸς τοὺς ἄρχοντας ἕωθεν ἐλθὼν ὀλίγου χρόνου Γαλάτας προσδέχεσθαι.*

3) Cf. Hist. 72. 73.

4) Cf. Hist. 74. usque ad Hist. 79.

ἐκείνας καὶ πολυδάμνεια φάρμακα, σὺ δέ με πείθεις μὴ μύθους εἶναι ταῦτα νομίζειν ἀλλὰ καὶ λίαν ἐναργῆ τε καὶ βέβαια. Τοσῦτον γὰρ ἤδη καιρὸν ἀφ᾽ ἡμῶν ἐκδημῶν οὐ μόνον κατ᾽ ἐκεῖνον τὸν Ἰθακήσιον καπνὸν γῆς τῆς πατρῴας μεγάλης εὐδαιμονίας καὶ συμβιώσεως κρείττω δοκεῖς, ἀλλὰ καὶ πατρίδος ὅλης καὶ φίλων ἁπάντων τοσῦτο καταπεφρόνηκας, ὡς μηδὲ γραφῆς μηδαμῶς ἡμᾶς ἀξιῦν, καὶ οἶμα ἢ σειρῆσί τισιν ἐντετύχηκας ἢ τῦ λωτῦ ἀπογέγευσαι, τὸ γὰρ πολυδάμνειον ἐκ ἂν φαίην ὡς πέπωκας φάρμακον· ἐκεῖνο γὰρ νηπενθές τε καὶ ἄχολον ἐπίληθές τε κακῶν ἀλλ᾽ οὐ φιλίας ἐτύγχανεν. Ἀλλ᾽ ἔῤῥωσό μοι, τριπόθητε, καὶ ὑγίαινε ἐν πᾶσιν οἷς δέον ἐστὶ τῷ σῷ κυρίῳ καλῶς ὑπεργῶν· οἷς δ᾽ ἂν τῦτον ψευδόμενον εὕρῃς ταῖς ὑποσχέσεσιν, ἐλέγχειν μετρίως ὡς οἷόν τε μὴ κατόκνει. Ἔςω γὰρ ἐπὶ μνήμης σοι τῦτο τὸ Ἡσιόδειον·

Αἰδώς τοι πρὸς ἀνολβίην, θάρσος δὲ πρὸς ὄλβον [1]).

Ναὶ μὴν καὶ περὶ τὴν κυριακὴν θεραπείαν ἠσχολημένος μηδὲ τῶν ῥητορικῶν λογίων ἀμέλει, ἀλλὰ τῇ σῇ βίβλῳ προσέχων γύμναζε μὲν σαυτὸν προγυμνάσμασι καὶ στάσεις γράφειν καλῶς ἐκμελέτα καὶ προοιμίων εὕρεσιν μάνθανε καὶ ἰδέαν λόγε ῥητορικῦ παντὸς διακρίνειν ἐπίσπευδε· ποῖά τε τῶν προβλημάτων ἁρμόδια δικανικῷ τυγχάνεσι λόγῳ καὶ ποῖα τοῖς ἄλλοις, ποῖα δὲ τέτων ἐνδόξε καὶ ἀδόξε καὶ ἀμφιδόξε τυγχάνεσι τρόπε, ταῦτά μοι πάντα ἠκριβωμένως ἐκμάνθανε καὶ ὡς οἷόν τε ὅτε καιρός ἐστι γράφε ἡμῖν.

θ. ΩΣ ΑΠΟ ΤΙΝΟΣ ΞΕΝΟΥ ΠΡΟΣ ΤΟΝ ΠΑΝΤΕΠΟΠΤΟΥ ΗΓΟΥΜΕΝΟΝ [2]).

Τολμῶν ὁ δῦλός σε, θεοειδέστατε δέσποτα, καὶ πάλιν δέομαι τῆς σῆς ἀντιλήψεως· διέσωζες πρὶν ἡμᾶς ὑπὸ τὴν σὴν κιβωτὸν, τὴν ἁγίαν λέγω μονὴν, ἐκ τῦ κατακλισμῦ τῶν βιωτικῶν περιστάσεων ὥςπερ ὁ Νῶε ποτε τὴν τῶν ἁπάντων ζώων ἀπόμοιραν καὶ παντοίως ἡμᾶς χειραγωγῶν περιέθαλπες. Ὡς δὲ τῆς σῆς ἀπεφοιτήσαμεν κιβωτῦ, ὕπω γὰρ ἐφ᾽ ἡμᾶς τὸ τῆς βασιλικῆς ἀγανακτήσεως ὕδωρ ἐκόπασε, μυρίοις τοῖς δυςχερέσι παλαίομέν κρύει τε ἀμέτρῳ πηγνύμενοι καὶ τῶν ἀναγκαίων ἁπάντων ςερύμενοι. Ἔνθεν τοι καὶ πάλιν ὥςπερ ὑπὸ τινὰ σωτήριον κιβωτὸν πρὸς τὴν σὴν θεαιδεστάτην καταφεύγω ἀντίληψιν, χειραγωγίας τε τῆς προτέρας τυχεῖν ἀξιῶ καθόσον ὁ θεὸς ὁδηγήσει σε. Καὶ τίς γὰρ οὕτως ὡς σὺ

1) Hesiod. O. D. 319., ubi πρὸς ἀνολβίῃ et πρὸς ὄλβῳ.

2) Cf. Hist. 80. usque ad Hist. 83.

θεοῦ μιμητὴς, τῶν πενεστέρων κηδόμενος, τροφὴ πεινώντων, πόρος ἀπόρων καὶ συνελὼν εἰπεῖν θάλασσα παντοίων καλῶν. Ἀλλ' ὦ προμηθεῦ ἐνδεῶν εὐεργέτα, ἀνθ' ὧν τὰ πάντα τυγχάνειν τοῖς ἀπόροις [1] *ἀντιμετρήσαι σοι θεὸς παντοκράτωρ κλῆρον κατασχεῖν τῆς ἐδὲν* [2] *κληρουχίας.*

ι. ΤΩΙ ΓΛΥΚΥΤΑΤΩΙ ΑΔΕΛΦΩΙ ΚΥΡΙΩΙ ΙΣΑΑΚΙΩΙ ΘΑΝΟΝΤΙ ΕΝ ΡΟΔΩΙ ΕΝ ΤΩΙ ΥΠΟΣΤΡΕΦΕΙΝ ΕΚ ΤΗΣ ΜΙΑΡΑΣ ΕΚΣΤΡΑΤΕΙΑΣ ΤΟΥ ΧΑΛΕΠ. ΗΝ ΔΙΑ ΤΟ ΥΠΕΡΠΑΘΗΣΑΙ ΜΕ ΚΑΙ ΔΙΑ ΤΟ ΚΑΤΑΧΡΗΣΕΙΣ ΠΟΛΛΑΣ ΑΥΤΗΝ ΕΧΕΙΝ ΤΩΝ ΔΙΧΡΟΝΩΝ, ΔΙΑ ΣΤΙΧΩΝ ΓΑΡ ΗΝ ΙΑΜΒΩΝ, ΧΙΑΣΑΣ ΣΥΝΕΠΑΤΗΣΑ.

ια. ΤΩΙ ΓΑΛΗΝΩΙ ΔΟΥΚΙ ΘΡΑΙΚΗΣΙΟΥ ΩΣ ΑΠΟ ΤΙΝΟΣ ΕΥΝΟΥΧΟΥ ΒΑΙΟΥΛΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ [3].

Μεγαλεπιφανέστατέ μοι αὐθέντα καὶ ἀδελφὲ Δοὺξ τοῦ θέματος Θρακησίου, φῆμαι πολλαὶ πολλαχοῦ τὸ σὸν φιλοδίκαιον περιθρυλλοῦσι καὶ κηρυκεύουσιν, ἡμεῖς δὲ μόνοι ὡς ἔοικε παρὰ τῆς σῆς μεγαλεπιφανείας τὸ Φιλοποίμενος πάσχειν δοκοῦμεν. Φιλοποίμην γὰρ ἐκεῖνος ὁ Κραύσιδος [4] *στρατηγὸς ὑπῆρχεν Ἑλλάδος, ἀνὴρ δὲ τἄλλα γενναῖος τελῶν ἐνέδει μορφῆς. Ἔνθεν τοι καὶ πρὸς ἑστίασιν εὐπεριφανοῦς τινος κληθεὶς Μεγαρέως καὶ ἀπελθὼν τῆς ἀπρεποῦς ἐκείνου μορφῆς πρέπουσαν τιμωρίαν ἐφεύρατο. Ἔτυχε γὰρ οἴκοι τῷ τότε μὴ παρεῖναι τὸν Μεγαρέα, ἡ δὲ τοῦ Μεγαρέως ἐκείνου γυνὴ δυςειδῆ τὸν Φιλοποίμενα βλέψασα ξύλα σχίζειν κελεύει θεράποντα τοῦτον νομίσασα, ὁ δ' ὢν τὸν τρόπον ἐπιεικὴς τὸ κελευσθὲν διειργάζετο. Ὡς δ' ὁ Μεγαρεὺς ἐλθὼν καὶ ἰδὼν τοῦτον ἀνέκραγε· τί τοῦτο δρᾷς ὦ φίλος ποίμην* [5]*; τί δ' ἄλλο, φησὶν ἐκεῖνος, ἢ κακᾶς μορφᾶς τίννυμι δίκαν; Καὶ ἡμεῖς δὲ ὡς ἔοικεν παρὰ σοῦ εὐνουχικοῦ σώματος ἀσθενοῦς τιννύομεν δίκας. Τί δέ μοι βούλεται ταῦτα κατάκουε. Ἀνεψιᾶς ἐμῆς ὀρφανῆς ἐν τῷ ὑπὸ σὲ θέματι κτῆμα τυγχάνει προάστειον καὶ παντοίως ἐπηρεάζεται ἢ καὶ τελείως καταβιβρώσκεται· ἀξιῶ γοῦν τὴν σὴν μεγαλεπιφάνειαν ἐαθῆναι τοῦτο ἀνεπηρέαστον καὶ ἕξεις καὶ ἀπὸ θεοῦ χάριν καὶ ἀφ' ἡμῶν ἀγάπην καὶ ἀνακήρυξιν· εἰ δ' οὔ, ὁ ἐμὸς αὐθέντης εἰς-*

---

1) A Schol.: *Ἀπόροις τὸ α βραχὺ, μακρὸν κακῶς ἐγραψάμην αὐτό· ἔτι γὰρ αὐτὸς εἱπόμην τοῖς βουβάλοις.*

2) Sic A; in Hist. 83. legitur *ἐδέμ*, et ita LXX reddiderunt hebr. Eden.

3) Cf. Hist. 84.

4) In Chil. quoque omnes libri ms. *Κραύσιδος* habent, quod Kiessl. correxit in *Κραύγιδος*. Ceterum Plutarchus Philop. c. 1. patrem Philopoemenis *Κραῦσιν* appellat. Ad historiam, quam hic Tzetzes laudat, cf. Plut. l. c. c. 2.

5) Ap. Plut. *ὦ Φιλοποίμην*.

ἄξει με καὶ ῥιφήσομαι παρὰ πόδας τῦ κρατῦντος ἡμῶν αὐτοκράτορος τῦ πάντα δικαίως κρίνειν εἰδότος, κἀκ τῦτε μοι πάλιν ἐπαναλάμψοι τὸ δίκαιον. Ἡ ἀγάπη σε χανισθείη μοι.

ιβ. ΠΡΟΣ ΤΙΝΑ ΓΡΑΜΜΑΤΙΚΟΝ [1]).

Λογιώτατε γραμματικέ, ἀρκέντως παρὰ τῆς σῆς μεγαλεπιφανείας παροινηθέντες τε καὶ παιχθέντες ἠνέγκαμεν· ἐλογισάμεθα ὖν δέον μηκέτι τὴν σὴν ἐξωχληκέναι μεγαλεπιφάνειαν, ἵνα μὴ καὶ περαιτέρω τὰ τῆς παροινίας ἡμῖν προχωρήσειε. Τὰ δ' ἄλλα σιγῶ, τὸ δὲ τῶν γραφησομένων ἐδάφιον καλῶς καὶ πλατέως τοῖς βελομένοις πάντα δηλώσειν, ἁμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι [2]). Οὐ τῶν ῥαδίως γὰρ παιζομένων ἡμεῖς, κἂν ἀνέχεσθαι καὶ μακροθυμεῖν μεμαθήκαμεν. Ἔῤῥωσο παίζων ἡμᾶς, εἰ παικτέοι σοι λογιζόμεθα, ἀλλ' ἔδει καὶ Προμηθέως φροντίδα ποιεῖσθαί σε, μήποτε καὶ πεῖραν λάβῃς Μεταμελείας τῆς Ἐπιμηθέως παιδός.

ιγ. ΤΩΙ ΓΑΒΡΙΗΛΑΚΙΤΩΙ ΚΥΡΙΩΙ ΜΑΝΟΥΗΛ [3]).

Μῦθος ἄρα μοι πρώην ἐδόκει καὶ Ἑλικὼν ἐκεῖνος καὶ Μῦσαι θρυλλέμεναι καὶ Πιερία καὶ τὸ Λειβήθριον, σὺ δέ μοι ταῦτα ὄντα δεικνύεις ἐκ τῶν πραγμάτων τριβέλτιστε. Εὐριπίδης μὲν γάρ φησι·

Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις [4])·

κἀγὼ δὲ νὴ τὸν λόγον Ἑρμῆν καὶ τὰς μύσας αὐτὰς τοιῦτον ὑπετόπαζον γεγενῆσθαί σε θετταλικοῖς ὀρεσκφοις χωρίοις ἐνδιατρίβοντα· σὺ δέ μοι καὶ μέλιτος ἀττικῦ γλυκερωτέρας δημιυργεῖς τὰς γραφάς, καὶ ὡς ἔοικεν ἦπυ παρ' Ἑλικῶνα πάλιν αἱ Μῦσαι φιλοχωρῦσι καὶ διατρίβυσι, πλησίον δέ πυ τῆς Θετταλίας ὁ Ἑλικών, καί σε παιδοτριβῦσι καὶ τὰ πρὸς λόγυς ἀνάγυσιν, ἢ Ὀρφεὺς ὁ Λειβήθριος αὐτὸς ἀνεβίω καὶ τὸν ῥυθμὸν τῆς γραφῆς πρὸς ἁρμονίαν ῥυθμίζειν κιθαρῳδικὴν ἐξεπαίδευσεν, ἢ ἄρα ὁ θετταλὸς ἐκεῖνος ἡμίθηρ ὁ Χείρων ὁ τῶν ἡρώων διδάσκαλος ἔτι τῷ βίῳ περίεστι καί σε παρὰ τὸ ἄντρον λαβὼν πάνυ δὲ πλησίον ὅπλα ταμὼν καὶ φάρμακα, ὡς τὸν Ἰάσονα καὶ τὸν Κορωνίδος υἱὸν καὶ τὸν Ἀχιλλέα παιδεύει. Οὕτω γὰρ ἀποκριβοῖς τὰς γραφὰς καὶ ἐμοὶ δ' ἔπεισιν ὑποπτεύειν μὴ καὶ δρομικὸν ἐξασκήσειε καὶ ἱππότην σε καὶ ἡμῖν ἐπανέλθοις ἀντὶ τοῦ

---

1) Cf. Hist. 85. 86. 87.
2) Pind. Olymp. I, 33. 34.
3) Cf. Hist. 88. usque ad Hist. 109.
4) Eur. Orest. 485.

φιλτάτε μοι Μανεὴλ Λαπίθης ἄλλος ἢ Κένταυρος. Καὶ ταῦτα μὲν ἔτω. Σὺ δὲ κλειταρχικῶς [1]) ἡμᾶς ἐπαινεῖς φάμενος πρὸς τὲς νῦν ἀπαραμίλλες. Κλείταρχος γὰρ ἐκεῖνος ὁ συγγραφεὺς περὶ τῆς τενθρηδόνος φησίν, ἡ δέ ἐστι μελίττῃ παροίμιον, κατανέμεται τὴν ὀρεινὴν, εἰςίπταται δὲ τῶν δρυῶν τὰς κοιλάδας, ὡς εἴπερ ὑπὲρ τε νεμεαίε [2]) λέοντος ἔγραφεν ἢ τε κάπρε καλυδῶνος. Οὕτω πως ὑπεραίρεις καὶ σὺ τὰ ἡμέτερα. Εἰ μὲν ἐν τὸ τε λόγε πάσχεις τὸ Τυφλὸν τὸ φιλεν παρὰ τὸ φιλέμενον [3]), εὖ γέ σοι τῆς πρὸς ἡμᾶς ἀμέτρε φιλίας· εἰ δέ γε τὸ τε Πινδάρε δοκεῖς γνωμολόγημα συνᾴδειν καὶ ἐφ' ἡμᾶς, τὸ

Οὐδὲ θερμὸν ὕδωρ τόσσον γε μαλθακὰ τέγγει
Γυῖα, τόσσον εὐλογία [4]),

τῷ τοι καὶ ἔτως εἰρήκεις, ἔψευσαι τε σκοπε. Ἔπαινοι γὰρ ἡμᾶς οὐ μαλθάσσεσι, τὸ δὲ πρώην ἐμε ἐπιστόλιον ὅπως ἠμελημένον καὶ ἀκαλλώπιςον ἐστάλκειν σοι μάνθανε. Θερμεργὸν ἀεὶ τὸ νέον ἐστὶ καὶ παράβολον καὶ ἀντερίζειν πρός κρείττονας βέλεται, ὡς ἡ χελώνη ποτὲ τῷ λαγωῷ ἀντερίσασα καὶ δόλοις λαθραίοις νικήσασα, οὐ γὰρ τὸ τε Μαρσύε πάθος καὶ Σαλμωνέως καὶ τοῦ Θαμύριδος καὶ τὸ τῆς Νιόβης ἐπίστανται. Τὸ τῆς χελώνης ἐν κακομήχανον καὶ ὁ σὸς συνομιλητὴς ἐδεδράκει· αὐτὸς γάρ σε τὰ γραμματεῖα κατέχων ἐφ' ἱκαναῖς ταῖς ἡμέραις καὶ μηδὲν τὸ σύνολον δηλώσας ἡμῖν παρὰ τούτων, τὰ μὲν οἰκεῖα ὡς ἔοικεν ἐκαλλιγράφει συγγράμματα, ἡμῖν δὲ περὶ τὴν τελευταίαν ἑσπέραν ἐκόμισέ σου τὸ πρὸς ἡμᾶς γραμματεῖον καὶ ἐνοχλῶν ἐπέκειτο σφοδροτέρως ἄνωθεν ἐμε ἑςηκὼς καὶ γραφὴν ἐξαιτῶν, ἐμοῦ μηδὲ τὸ σύνολον βλέποντος γράφειν. Ἔνθεν τοι τὴν κακομήχανον γνώμην αὐτε μυσαχθεὶς ἔτως ἐσπευσμένα καὶ ἀκαλλώπιστα καὶ ἐξ ὑπογυίε ὡς νῦν ἐγεγράφειν, ἀλλὰ τότε μὲν παντελῶς δι' ἣν ἔφην αἰτίαν, νῦν δὲ διὰ τὸ μὴ μέλλειν μοι λόγων ἀποτορνεύσεως. Ἀφ' οὗ γὰρ ὁ ἐμὸς τριπόθητος ἀδελφὸς Αἰγύπτε ἰὼν δολιχὴν ὁδὸν ἀργαλέην τε ἐλεεινῶς τὸν βίον κατέστρεψεν, ἐπεὶ πόλεμον τολύπευσεν [5]), ἐπεὶ Ῥόδον ἧκε ἀλώμενος ἄλγεα πάσχων, ἐδ' αὖθις ἀφίκετο πατρίδα γαῖαν, ἐκ οἶδα ὅ τι ἄρα καὶ γράφω ἢ φθέγγομαι, ἐδέ τί μοι τῷ βίῳ δοκεῖ βλεπτὸν ἢ στερκτὸν ἢ προςήγορον, ἔτω μοι πάντα καὶ ἡ μνήμων δὲ φρὴν ἐκείνη, δι' ἣν μακαριστὸς ἀγαστὸς ἐδόκεν πολλοῖς, συνετεθνήκει τῷ ἀδελφῷ καὶ

---

1) A. Schol.: κλειταρχικῶς· σημείωσαι ὑπερβολικὸν λόγον Κλειτάρχε.
2) In Chil. νεμεἰε. Utraque forma in usu fuit.
3) Theocr. VI, 19.
4) Pind. Nem. IV, 4. 5.
5) Odyss. I, 238.: ἐπεὶ πόλεμον τολύπευσεν.

ὐδ' ἀπολοφύρασθαι τοῦτον ἐξόν μοι μετροσυνθέτοις γραφαῖς· πωροῦμαι γὰρ ὑπὸ τοῦ πάθȣς εὐθέως τȣ́του μνησθεὶς καὶ γράφειν οὐ δύναμαι ὁ παρὰ τȣ̀ς ἄλλȣς γράφων αὐθημερὸν τὰ μετρικὰ μακρὰ ἐπιτάφια. Ταῦτά τοι, ὦ λῷστε, οὐδ' ἀμεγέθη κάλλȣς λόγων φροντίζομεν καὶ τὸ τῶν λοιπῶν δὲ φροντίδων φορτίον οὐχ ἧττον ἀποτορνεύσεως λόγων ἀπάγει με. Διά τοι ταῦτα εἰ ἀφελῶς σοι γράφομεν, φίλτατε, μηδόλως ἡμᾶς αἰτιῶ· ἄλλοισι γὰρ ταῦτα μέλλει κίθαρις καὶ ἀοιδή [1]). Ἀσπάζονταί σε διὰ τῆς παρȣ́σης γραφῆς με οἱ περιλειφθέντες μοι ἀδελφοὶ καὶ ὁ τȣ̃ Πρωτοβεστιαρίȣ κύριος Ἀλέξιος καὶ ὁ Μαχητάριος κύριος βασίλειος καὶ ὁ λοιπὸς χορὸς τῶν φιλȣ́ντων ἡμᾶς. Ἔῤῥωσο ὑγιαίνων καὶ εὐοδȣ́μενος σὺν τῷ σῷ αὐθέντῃ καὶ πανολβίῳ πατρί. Φανείης δὲ καὶ ἡμῖν ὑγιαίνων καὶ ἱλαρὸς καὶ θυμήρης, ὁπότε ἄρα θεῷ αἱρετόν.

ιδ. ΤΩΙ ΚΥΡΙΩΙ ΚΥΡΙΩΤΑΤΩΙ ΤΩΙ ΧΑΡΤΟΦΥΛΑΚΙ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ [2]).

Ἁγιώτατε δέσποτα, τῆς ἐκκλησίας λαμπτὴρ καὶ τῶν ἱερῶν κανόνων ἀῤῥαγεστάτη κρηπὶς καὶ ἀδέκαστε δικαστὰ καὶ ζυγȣλκȣ̀ ἀῤῥεπέςατε, ἐπεὶ μόνος ὡς ἔοικε ζωὸς κατερύκεαι εὐρέι κόσμῳ [3]) ὁλοσχερέστερον τῶν ἱερῶν κανόνων ἐχόμενος καὶ τούτων ἀντιποιούμενος, πείθεις ἡμᾶς καὶ ἄκοντας ὑπὲρ εὐσεβȣ̃ς τρόπȣ θαῤῥȣ́ντως παῤῥησιάζεσθαι καὶ δὴ ταῖς ἱεραῖς ἀκοαῖς σȣ τȣ̀ς λόγȣς ὑπόδεξαι. Κινδυνεύεταί τι μέγα κινδύνευμα παρὰ τȣ̀ς ἱερȣ̀ς κανόνας ἢ καὶ αὐτὰ φάναι τὰ ἱερά, καὶ ἀποτυφλȣ̃ται καὶ ἡ ἀλήθεια καὶ τὸ δίκαιον καὶ ἀπιστία πολλοῖς ἐπανθήσειε περὶ τȣ̀ς ἱερεῖς καὶ μονάζοντας, εἰ μὴ σὺ αὐτὸς ὁ Ἡρακλῆς ὁ σωτήριος ἀνδρικὸν καὶ γενναῖον περιζωσάμενος ἀπανταχȣ̃ τὴν τοιαύτην κακίαν ἐκκόψειας. Μοναχὸς γάρ τις, ἐκ οἶδα ὅτι καλέσω τὸν ἄνθρωπον, ἐγκλείσας ἑαυτὸν τῷ περιωνύμῳ τῶν ἀποστόλων ναῷ ἕδρα οἷα καὶ ἕδρα καὶ μέχρι μὲν τȣ̃ γνωσθῆναι τὰ τȣ́τȣ καταφανέστερον αὐτὸν ἐχειραγώγεις καὶ περιέθαλπες ὁμοίως δὲ καὶ ὁ δεσπότης σὺν σοί· Ἐπεὶ δὲ τὰ τȣ́τȣ ἔργα ἐξεκηρύχθησαν, ὁ μὲν δεσπότης εὐθὺς γνȣ̀ς τὸν τρόπον αὐτȣ̃ καὶ τῆς κακομηχανίας αὐτὸν μυσαχθεὶς ἐπέσχε τὴν χεῖρα τὴν πλȣτοδότιν [4]), σὺ δὲ ὥς φασι μετά τινος τῶν ἐπισκοπειανῶν καλȣμένων μηνύεις ἐκστῆναι αὐτὸν τȣ̃ κελλίȣ, ἵνα μὴ ἀπώλεια πολλοῖς ἐντεῦθεν ἐγγίνοιτο. Ἀλλ' ἐκεῖνος μέν, ἂν φιλικώτερον πρὸς αὐτὸν οὐκ

1) Odyss. I, 159.: *Τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή.*

2) Cf. Hist. 110. usque ad Hist. 115.

3) Odyss. IV, 498.: *εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ.*

4) Cf. Jo. Phoc. Descr. Palaest. p. 12, 31.: *ὑπὸ τῆς πλ. δεξιᾶς.*

οἶδ' ὅπως εἰπεῖν οἱ ἐπισκοπειανοὶ διετίθεντο, ὅμως τὸ σὸν δικαιότατον ἐπίταγμα πτοηθεὶς ὑπεχώρησε πρὸς Τικελλίον πρὸς τὰς τοιαύτας κακομηχανίας ἐπικαιρότατον, ἀποστολῖται δὲ ὀλίγοι τινὲς ταῖς μὲν ἀξίαις τȣ̃ ἱερȣ̃ καταλόγȣ τυγχάνοντες, ὦ τῆς τȣ̃ Θεȣ̃ ἀνοχῆς, τοῖς ἔργοις δὲ μεθυσοκότταβοι καὶ οἰνόφλυγες ἄνθρωποι ποτηρίῳ οἴνου καὶ τὴν εὐσέβειαν ἀρνησόμενοι καὶ ἕτεροι χυδαῖοί τινες καὶ κρητικοί τινες αὐτοῦ συγγενεῖς τῇ σῇ δικαίᾳ κρίσει μὴ ἀρεσκόμενοι, ὡς ἐκεῖθεν οἱ μὲν οἰνιζόμενοι, οἱ δὲ καὶ κερδαίνοντες, αἱ δὲ καὶ ἀδελφοποιητῷ δικαίῳ θαῤῥȣ̃σαι τὸν Παλαμναῖον ἐκεῖνον γεραίρȣσι πανταχοῦ καὶ ἀνακηρύττȣσιν. Ὁ δὲ καίπερ ὑπὸ σȣ̃ διωχθεὶς [1]) ὅμως σὲ συνεργὸν ἔχειν καὶ φίλον ἐπιβοώμενος τοὺς μὲν πολλȣ̀ς ἀπατᾷ καὶ πρὸς ἑαυτὸν ἐφελκύει, σπιλοῖ δέ σου τὸ ἄσπιλον ὄνομα καὶ τῆς προτέρας πλάνης ἡ δευτέρα χείρων γενήσεται, εἰ μή που σὺ μικρόν τι καὶ περὶ τȣ́τȣ οἰκονομήσειας. Ἀλλὰ τὰ κατ' ἐκεῖνον ἐχέτωσαν ὅπως ἄρα καὶ ἔχοιεν, εἴ σοι ταῦτα νομίζονται περιφρονήσεως ἄξια· ὁ δὲ πρὸ τȣ́τȣ ἔγκλειστος, ἅγιε δέσποτα, κἂν τῷ πρωτοσεβαστῷ μεγάλως τετίμηται καὶ ἡμιόνοις λιπῶσι καὶ ὑψηλοῖς ἐποχῆται καὶ περίβλεπτος πολλοῖς καταφαίνηται, ὅμως καὶ πάλιν ὡς ἡ τȣ̃ Νῶε περιςερὰ πρὸς τὴν ἐγκλείστραν [2]) ἐθέλει παλινδρομεῖν, οὐ γὰρ ἀνωφελές ἐστι τὸ κελλίον ȣ̓δὲ ἀπρόσοδον· ἔνθεν τοι καὶ πευθῆνας καὶ κατασκόπȣς ἀπέςαλκε καὶ προκήρυκας, ὑπισχνούμενος καὶ προσένεξιν δȣ̃ναι, εἰ μὴ προῖκα τοῦτον ἐῶσι κατασχεῖν τὸ κελλίον. Ταῦτά εἰσι τὰ κινδυνευόμενα, τοιαῦτα τὰ τȣ́των μηχανεργήματα. Ἀλλ' ὦ τῆς ἀληθείας ὑπέρμαχε καὶ τῶν ἱερῶν κανόνων ὁ πρόβολος, ὁ τὸ οἰκεῖον κέρδος παραιτησάμενος πολὺ ὂν ὑπὲρ τοῦ μὴ δαιμονᾷν μικρὸν ἕνα ναὸν, ὃ καὶ ἄγγελοι μεγαλύνουσι, δέομαι τῆς σῆς ἱερᾶς κεφαλῆς, μὴ ὑπὲρ ἀλλοτρίων φαύλων κερδῶν καὶ συμποσίων καὶ μέθης ἐάσῃς τὸν τοιȣ̃τον περίβλεπτον ναὸν δαιμονᾷν, ἢ καὶ πᾶσαν σχεδὸν φάναι τὴν Μεγαλόπολιν, μὴ ἐγχωρήσῃς τȣ̃το γενέσθαι. Παῦσον τὸ τῶν ἀνδρῶν κακομήχανον, ἔγκλεισον τὰς ἐγκλείστρας τελείως, φροντιστηρίων φρȣραῖς καὶ κοινοβίοις τȣ́τȣς ὑπόβαλλε· αἱ γὰρ ἐγκλεῖστραι ταν͂υν, ἅγιε δέσποτα, γεγόνασιν ἀνθρωποχοιροτρόφια καὶ συμποσίων καὶ μοιχείας κατα-

---

1) A Schol.: Τȣ̃το τὸ χωρίον ὅλον μεθόδῳ δεινότητα διδάσκει· πότε δεῖ ψεύδεσθαι ῥήτορας· ἤτοι ὅταν συμφέρῃ τοῖς ἀκȣ́ȣσιν (ὁ B) ὡς νῦν τȣ́τῳ (τȣ̃ B)· ἐμȣ̃ γὰρ αὐτὸν ἐκβαλόντος τῆς ἐγκλείστρας φημὶ ὅτι τὸ σὸν ἐπίταγμα πτοηθεὶς ὑπεχώρησεν.

2) A Schol.: ἐγκλείστραν· τὰ εἰς ρα θηλυκὰ μονοφθόγγῳ παραλήγοντα ἐκτείνει τὸ α· χώρα, ὥρα, χήρα· διφθόγγῳ δὲ, συστέλλει αὐτὸ, μοῖρα, σπεῖρα, καὶ τὰ ὅμοια· τὰ δὲ μετ' ἐπιπλοκῆς συμφώνων, εἴτε μονοφθόγγῳ, εἴτε διφθόγγῳ παραλήγοντα, ἐκτείνει τὸ α, οἷον ψλέγρα, φαίδρα, ἐγκλείστρα, πέτρα, καὶ τὰ ὅμοια.

γωγαὶ ἤπερ ἐπαύλεις καὶ μάνδραι ψυχοσωτήριοι. Διά τοι τὃτο ἱκετεύω καὶ δέομαι καὶ ἀντιβολῶ, εἰ εὐσεβές σοι τὃτο δοκεῖ καὶ ὅσιον καὶ δυνατὸν τῇ μεγίστῃ ἁγιωσύνῃ σε, καθ᾽ ὁλοκληρίαν ἐγκλεῖσαι τὰς κατὰ τὴν Μεγαλόπολιν [1]) ἁπάσας ἐγκλείστρας, εἰ δ᾽ οὔ, κἂν ὁ τῶν ἀποστόλων ναὸς τῇ σῇ ἀντιλήψει τῆς τοιαύτης ἐπηρείας ἀπαλλαχθήτω, μήπως τισὶ χρονικοῖς εἰς ἡμετέραν αἰσχύνην ταῦτα γραφήσονται· εἰ γὰρ καὶ πᾶς ἄλλος σιγήσειεν, ἀλλ᾽ οὖν ἐμοὶ μελήσει τὃτο καὶ λευκαῖς κόραις. Ταύτην τὴν ἱκετηρίαν εὐσεβεστάτῳ ζήλῳ προςφέρω σοι, κἂν τισιν ὀλίγοις οἰνοβαρὃσιν ἀνθρώποις ἀπᾴδεσα καταφαίνηται.

ιε. ΤΩΙ ΙΕΡΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΩΝ ΩΣ ΑΠΟ ΤΙΝΟΣ [2]).

Ἀτρανῆ μὲν καὶ ἄκομψον περὶ τὸ γράφειν τὴν γλῶτταν ἐσχήκαμεν, ὦ ἱερώτατε δέσποτα, οὗ ἕνεκα καὶ ὑπεςελλόμεθα ἐπιςέλλειν τῇ σῇ ἁγιότητι, καὶ τὴν πυθαγορείαν ἀσκὃντες ὡρώμεθα σιωπὴν, καθὰ καὶ αὐτὸς ἡμῖν κατωνείδισας, καίτοι καὶ συγγενικὴν πατροθειόθε [3]) στοργὴν εἰδότες τηρὃντά σε πρὸς ἡμᾶς. Πλὴν εἰ καὶ ταῖς γραφαῖς Πυθαγόρειον ἠσκὃμεν τὴν σιωπὴν, ἀλλ᾽ οὐχὶ καὶ τοῖς ἔργοις ἐπεσιγάζομεν, οὐδὲ πατρῴας φιλίας ἦμεν ἀμνήμονες, ἀλλὰ παντοίως τὰ πρὸς σὴν θεραπείαν ἐσπεύδομεν. Βραδεῖς δὲ οὐχ ἡμεῖς περὶ τὰς ἀποδείξεις τῶν σῶν τελεσμάτων ἐφάνημεν, ἀλλὰ κατὰ μὲν τὸν χρόνον τὸν πέρυσι [4]) ἐκωλυόμην δὴ καὶ αὐτὸς γινώσκεις [5]) τὴν ἐκστρατείαν τοῦ κραταιοῦ ἡμῶν αὐτοκράτορος τὴν πρὸς Κιλικίαν καὶ Ἀντιόχειαν. Ἐστάλησαν μὲν γὰρ παρ᾽ ἡμῶν περὶ τὴν Ἀντιόχειαν τότε οἱ πρόςγραφοι, ὅπως αἱ ἀποδείξεις ταχινώτερον γένοιντο,

---

1) A Schol.: *Μεγαλόπολιν· Μηδέποτε μεγαλὃπολιν, γράφε (γράψῃς B), ἢ Κωνσταντινὃπολιν ἢ Φιλιππὃπολιν, ἀλλὰ Μεγαλόπολιν, Κωνσταντινόπολιν, Φιλιππόπολιν, καὶ τὰ ὅμοια· ὃ γὰρ ἦν ἡ γενικὴ τὃ Μεγάλε, ἢ Κωνσταντίνε, ἢ Φιλίππε, καὶ τὰ ὅμοια, ὥςπερ τὃ Ἀδριανὃ, ὅθε καὶ Ἀδριανὃπολις γράψομεν, καὶ τὰ ὅμοια.*

2) Cf. Hist. 116. 117. 118. Epistolae 15. 16. 17 et 18. dimidia editae sunt et in Chiliadum editione a Kiesslingio instituta pag. 523 seq. leguntur. Ab hac epistola noster B initium capit omissis omnibus prioribus epistolis. Caeterum in inscriptione Kiesslingius legit: *μητροπολιτῶν Πατρῶν*, sanctissimo metropolitano Patrarum; nostri libri *Πατρῶν* non addunt.

3) B *πατροθειόθεν.*

4) AB Schol.: *Χρόνον τὸν πέρυσι κωλὺμην· πάντες ψιλὸν καὶ ι γραφεσι· Τζέτζης δὲ ἀπὸ τὃ περισεῦσαι καὶ ἐκδραμεῖν ἐτυμολογὃμενον, εἰδὼς τὸ πέρισυ ε καὶ ψιλὸν γράφει· Τζέτζε τὸ λοιπὸν τεχνικοῖς πείθε λόγοις· οἱ βάρβαροι δὲ ταῖς γραφαῖς ταῖς βαρβάροις· ὅτω δὲ ἐτυμολογεῖται καὶ τὸ ἐχθὲς, ἀπὸ τὃ ἐκθεῦσαι καὶ ἐκδραμεῖν Ἀττικῶς διασυνθέν· Ἴωνες ἐκκόψαντες ε χθὲς φασί δε.*

5) A *κωλύμην δὴ καὶ αὐτὸς γενέσθαι.* B *κωλύμην καὶ αὐτὸς γινώσκεις.*

καὶ μόλις ὀψὲ ταύτας ἀπεδεξάμεθα, τȣ̃ πανσεβάστȣ Σεβαστȣ̃ [1]) κυρίου Ἀδριανοῦ ταύτας ἀποκομίσαντος. Ἡ βραδύτης δὲ τῶν ἀποδείξεων τῶν τελεσμάτων τῆς νῦν ἐγχρονίας ἐκ ἄλλοθέ [2]) ποθεν ἐγένετο ἢ ἐκ τȣ̃ μὴ τὸν γραμματηφόρον ὑποχείριον εἶναι τῆς σῆς ἁγιότητος, ἔτι δὲ καὶ τοῦ μὴ σῶα πεμφθῆναι καὶ τὰ τελέσματα. Ὅμως καὶ οὕτω τȣ̃ πράγματος ἔχοντος ἡμεῖς συγγενικὴν ἀγάπην ἐπιδειξάμενοι τὸ λεῖπον ἐθεραπεύσαμεν καὶ ταύτας ἀποπληρώσαντες [3]) ἀπεςάλκειμεν τῇ σῇ ἱερότητι. Τὴν εὐλογίαν τȣ̃ πρωτοκλήτȣ ἀποστόλȣ ἀπέλαβον καὶ τῇ ἁγιωσύνῃ [4]) σȣ εὐχαρίστησα [5])· περιεῖχε δὲ τὸ ἱερόν σȣ γράμμα δηλȣ̃ν με τῇ σῇ ἁγιότητι, καὶ εἴ τινος ἐν χρείᾳ γενοίμην τῶν ὄντων καὶ γινομένων αὐτόθι. Ἐγὼ δὲ, εὖ ἴσθι, ὡς δέομαι μὲν ȣ̓δενὸς τῶν αὐτόθι ἢ τῆς σῆς ἁγίας εὐχῆς, εἰ δέ τινος καὶ δεοίμην ἑτέρȣ, ȣ̓κ ἂν τῇ σῇ ἁγιωσύνῃ ἐδήλωσα· πολλοῖς γὰρ διαβεβόηται τὸ φιλότιμόν σȣ καὶ μεγαλόδωρον καὶ αὐτὸς δὲ τȣ̃το λίαν καλλίστως ἐπίσταμαι. Διά τοι τȣ̃το καὶ εἴ τινος ἐδεόμην, ȣ̓κ ἔδει πρὸς εὐγενῆ καὶ εὐγνώμονα καὶ τῷ ὄντι ἀρχιερέα καὶ μεγαλόδωρον καὶ μόνον τὸ δέον ἐπιστάμενον γράφειν με. Ἡ ἱερά σου καὶ θεῖα εὐχὴ χαρισθείη μοι.

ιϛ. ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ ΑΞΙΟΥΝΤΑ ΜΕΤ' ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΑ ΣΤΕΛΛΟΜΕΝΑ ΠΑΡ' ΑΥΤΟΥ ΔΕΧΕΣΘΑΙ ΚΑΙ ΙΩΑΝΝΗΙ ΤΟΝ ΛΕΟΝΤΑ ΕΠΙΓΡΑΨΑΝΤΑ ΠΡΟΣ ΟΝ ΕΣΤΕΛΛΕΤΟ ΤΑ ΣΤΕΛΛΟΜΕΝΑ [6]).

Τὴν παρὰ τῆς σῆς ἱερωτάτης χειρὸς σταλεῖσαν ἡμῖν εὐλογίαν, θεοφιλέστατε δέσποτα, ἐδεξάμεθά τε καὶ ἀπεδεξάμεθα, ἵνα τι καὶ πεζαίτερον εἴποιμεν. Οὐδὲ γὰρ ἡμῖν δοκεῖ τι κρεῖττον ἀκραιφνȣ̃ς φιλίας δωρήματος, ȣ̓δ' ἂν τὸ κυρηναϊκὸν ἡμῖν προσενέγκοι τις σίλφιον οὐδ' ἂν τὴν Γύγου σφενδόνην ἢ τὸν Πολυκράτȣς δακτύλιον ἢ τὰς χρυσᾶς ἐκείνας πλίνθους τȣ̃ Κροίσȣ καὶ θησαυρίσματα Μίδȣ τὰ πολυτάλαντα. Ἐπιγνώμονες γὰρ

---

1) Kiessl. ed. τȣ̃ πανσεβεστάτȣ σεμνȣ̃.

2) B ἄλλοθέν.

3) Sic bene coniecit Kiessl. pro ἀπολη ρώσαντες. Lectio, quam in textum recepimus, codicibus AB probatur.

4) Kiessl. ed. ἁγιοσύνῃ.

5) Sic noster A ex usu Tzetzae; neque igitur opus est legere ηὐχαρίστησα, quod est in B.

6) Conf. Hist. 119 usque ad Hist. 128. Vulg. καὶ ἰωάννῃ, τὴν λε.... quam lacunam Lacisius sic explet: *Joanni ingrati animi crimen inscribentem.* Noster A optime huic loco corrupto medetur, nam *leo* symbolum rapacitatis atque avaritiae. Hanc allusionem Tzetzam quoque in hac inscriptione invenisse ex fine epistolae huius apparet.

ἡμεῖς ἀκριβεῖς, οὐ μόνον ὅπη τὸ ἥμισυ πλέον παντὸς ἀλλὰ καὶ ὅπη καθέστηκε μικρόν τι πολλοστημόριον ὁλοκληρίας ὑπέρτερον. Οὕτως ἡμῖν, ὦ ἱερὰ κεφαλὴ, δεκτὰ καὶ ἀποδεκτὰ τὰ σὰ δοκῦσι δωρήματα καὶ ὡς ἄν τις εἴποι θεόςδοτα. Σὺ δ' ὡς ἔοικεν ἀγνωμοσύνην ἡμῶν καταγνοὺς καὶ ἀναγωγίαν καὶ περιπετείαν μετ' εὐγνωμοσύνης ἡμᾶς ἀξιοῖς τὴν ἀπόληψιν ποιεῖσθαι τῆς σῆς εὐλογίας. Ἀλλ' εὖ ἴσθι ὡς μάντις ὢν ἄριςος ἐσφάλε πάλαι [1]). Ἡμεῖς γάρ ἐσμεν ἐκ ἀγνώμονες, κἄνπερ πρὸς σὲ πρότερον ἀκραιφνεστάτῃ φιλίᾳ τὴν παῤῥησίαν λαβόντες ἠστεϊσάμεθα. Σὺ δ' ὡς ἐγῷμαι καὶ ὡς βορὲς καὶ φάγες ἡμᾶς δεδοικὼς καὶ θηριώδεις εἶναι νομίζων καὶ τὴν ἡμῶν λεοντώνυμον [2]) κλῆσιν ὡς θηριώνυμον μετακαλέσας μετέτρεψας πρὸς ἱλαράν τε καὶ χαριτώνυμον. Ἀλλ' εὖ ἴσθι ὡς κακῶς ἡμᾶς νομίζεις ἀγνώμονας· ἡμεῖς γὰρ λίαν εὐγνώμονες καὶ ὑπὲρ τὴν λυδικὴν λίθον τὴν βάσανόν ἐσμεν τῦ δέοντος ἐπιγνώμονες. Ἀλλ' εἰ τὴν πρὶν φιλικὴν παῤῥησίαν καὶ τὸ ἀστεῖον καὶ χαρίεν ἁμάρτημα κέκρικας, σύγγνωθι τοῖς τῆς φιλίας πτεροῖς προπετεύσασιν.

ιζ. ΠΡΟΣ ΤΙΝΑ ΓΡΑΜΜΑΤΙΚΟΝ [3]).

Εἰ μὴ παρ' ἡμῶν ῥᾳδίως τὰς χάρτας ἐλάμβανες, ἐκ ἂν δυσχερῶς ἀπεδίδως· ἀλλ' εἰ καὶ μόλις καὶ δυσχερῶς τύτυς ἡμῖν ἀποδοίης, χάρις σοι προκείσεται τῦ διδάγματος· μόνον ἀπόδος. Ἡμεῖς δὲ τῦ λοιπῦ τῷ πάθει μαθόντες, δυσχερῶς τοῖς ἑτέροις διδόντες, ῥᾳδίως ἀπολαμβάνοιμεν. Ἔῤῥωσο, Τίμωνας ποιῶν τὺς ἀνθρώπυς καὶ μεταπλάττων εἰς θῆρας καὶ ξενηλασίαν διδάσκων Λακωνικὴν καὶ Κυκλώπων μισαλληλίαν καὶ τὸ ἀσύμβατον.

ιη. ΤΩΙ ΜΥΣΤΙΚΩΙ ΚΥΡΙΩΙ ΝΙΚΗΦΟΡΩΙ ΤΩΙ ΣΕΡΒΙΛΙΩΙ [4]).

Ὀφθαλμὲ [5]) γερυσίας, ὑπεροχὴ τῆς ἀρχῆς, μυστηριῶτις βυλὴ [6]), τῶν πρὶν Καισάρων Σερβιλίων [7]) ἀπόγονε. Μῦθος ὁ μὲν θετταλὸς, ὁ δὲ

1) Soph. Electr. 1473.

2) Jo. Damasc. Ep. ad Theoph. de imag. Edess. p. 122.: Λ. θὴρ de Leone imperatore.

3) Cf. Hist. 129. 130. 131.

4) Cf. Hist. 132. usque ad Hist. 141.

5) Cf. de hac metaphora nota, quae Boissonade Anecd. Gr. III. p. 195. disputavit. In Pind. Olymp. II. Theronis maiores Σικελίας ὀφθαλμὸς nuncupati sunt.

6) Cf. Chil. IX, 137.: βυλὰς μυστηριάτιδας.

7) AB Schol.: Σερβίλιος (suprascr. Σερβήλιος) καὶ τὰ τοιαῦτα Ῥωμαϊκὰ πάντες η γράφυσι· Τζέτζης δὲ ι, οἷς εἰδὼς τὺς Ῥωμαίυς, μήτε η, μήτε αι δίφθογγον (διφθόγγυς B) γράμμα, μήτε ω μέγα ἔχειν. De Nicephoro Botaniate Scylitzes p. 857 narrat, eum ex nobilissimis natalibus, atque adeo ex Phoca, imo ex ipsis

τῶν τῆς ἑλλάδος ἀνασκιρτήσας [1]) ὀργίων [2]), παράγεσιν Αἰακόν τε καὶ Δευκαλίωνα, τὸν μὲν τὸ τῆς Αἰγίνης ἀπάνθρωπον [3]) δυσχεραίνοντα, Δευκαλίωνα δὲ μετὰ τὸν Βεραῖον ἐκεῖνον κατακλυσμὸν, περί τι παρνάσσιον ἀκροκόρυφον μόλις περισωθέντα μετὰ τῆς λάρνακος, ὀλοφυρόμενόν τε οἷον καὶ ὅσον ἀπώλετο Πελοποννήσιόν τε καὶ Ἴσθμιον ἔμψυχον, φιλανθρώπους ἱκετηρίας ἐπὶ γονὴν ἀνθρώπων αἰτούσας προσενεγκεῖν τῷ Διΐ. Τὸν δὲ τοὺς αἰγιναίες μὲν μύρμηκας Αἰακῷ μεταβαλεῖν εἰς ἀνθρώπους, Δευκαλίωνι δὲ τὲς λίθες τῦ Παρνασσῦ. Κατὰ τὸν Δευκαλίωνα τοιγαρῦν καὶ αὐτὸς, Καισάρων ἀπόγονε, κατακλυσμὸν πλὴν ἐκ ὄμβριον ἀλλὰ πυρὸς διαδρὰς τὸν ἐξ οἰκολογικῦ [4]) μισανθρώπε χορτομανίας ἀναῤῥαγέντα μοι ἱκετηρίαν [5]) ὁμοίαν ἐκείνοις προςανατείνω σοι, ὡς τῆς ὁμορούσης μοι συνοικίας ἁπάσης κελεύσαις ἀπελαθῆναι τὸν χόρτον, ἀνθρώπες δὲ ὁμογλώσσες ἀντεισαχθῆναί μοι γείτονας, ἵνα τις εἴπῃ τι περὶ σῦ καὶ ὀψιγόνων ἀνθρώπων, ὡς ὁ Σερβιλίων Καισάρων ἀπόγονος αἰτησαμένῳ ποτέ τινι γραμματεῖ τοὺς χόρτες εἰς ἀνθρώπους μετέβαλε. Καθάπερ πρὶν ὁ Ζεὺς τὲς μύρμηκας Αἰακῷ καὶ τοὺς λίθες τῷ Δευκαλίωνι, οὕτως ἡμῖν αὐτὸς, ὦ κυδροτάτη ψυχὴ, τὰ τῦ πυρὸς ἀποσκέδασον φόβητρα καὶ τὸν ἄνωθεν ἡμῖν ἐπιῤῥέοντα κατακλυσμὸν μετοχέτευσον. Ἐν μεταιχμίῳ γὰρ ἡμεῖς πυρὸς φοβήτρων καὶ ὑδατώδες κατακλυσμῦ καθεστήκαμεν· κάτωθι [6]) μὲν γὰρ ἡμῖν ὁ χόρτος ὑπέστρωται, ἄνωθεν δὲ περὶ τὸ ὑπέρθυρον πολὺς ὁ ὑετὸς ἐπιῤῥεῖ. Τρίςπατος καὶ ἡ οἰκία καὶ ἱεροπρόςπολος ἄνθρωπος δευτερεῖα τῶν ἱεροπροςπόλων λαχὼν ἄνω ἡμῶν παροικεῖ. Τῦτῳ παῖδες εἰ μὴ κατὰ Πρίαμον καὶ Δαναὸν καὶ τὸν Αἴγυπτον ἀλλ᾽ ἐν πλείες πολλῷ τῶν [7]) τῆς Νιόβης καὶ τῦ Ἀμφίονος. Συντρέφεται δὲ τοῖς παισὶ καὶ συίδια. Ταυτὶ τὰ παιδία καὶ τὰ συΐδια τῆς ξερξικῆς ἱππάδος τὸ ἐναντίον ἐργάζεται· ἡ Ξέρξε μὲν γὰρ τὸ πρὶν ἵππος πιεῖν ἐπικύπτεσα τὲς ποταμὲς ἀπεξήρανεν [8]), ὡς μαρτυρεῖ περὶ τὴν Ἀσίαν ὁ Μαίανδρος, περὶ

Fabiis Romanis per longam avorum seriem ortum duxisse. Obiter tantum Nicephorus τῆς ἀρχαιογονίας τῶν Κομνηνῶν meminit.

1) A ἀνασκριτήσας.

2) Kiessl. ed. ὀργιίων.

3) B ἐνάνθρωπον, ed. Kiessl. ἀπάνθρωπον.

4) οἰκολογικὸς videtur ἅπαξ λεγόμενον. Sed οἰκολόγος, *curator domus*. Typicum ms. monast. Deiparae τῆς κεχαριτωμένης, c. 14.: οἱ τῶν οἰκολόγων λογαριασμοί (Ducang.). B οἰκολογικῆς.

5) A οἰκετηρίαν.

6) B κάτωθεν. Forma κάτωθι ap. Tzetz. Exeg. Il. p. 152, 17.: εἰς τὴν ὑπ᾽ αὐτὸ κάτωθι θάλατταν.

7) A om. articulum τῶν.

8) B ἀπεξήραινεν et sic quoque in Chiliad.

δὲ τὴν Εὐρώπην ὁ Νόχονός τε ὁ θετταλὸς καὶ ὁ ἀττικὸς Ἰλισσός. Ταυτὶ δὲ ἐρεῖν συνεισρεύσαντα ποταμὲς ναυσιπόρες ἐργάζεται. Ἂν δὲ καὶ ὑετὸς ἐρανόθε [1]) καταῤῥαγῇ καὶ τοῖς ποταμοῖς ἐκείνοις συῤῥεύσῃ πρὸς μίαν μισγάγκειαν, πόσον δοκεῖς μοι τότε προςπελαγίζειν κλυδώνιον. Ἀλλ' οἴκτειρόν με καὶ ἀμφοτέρων τῶν δυςχερῶν ἐξάντη κατάστησον, ἀντὶ μὲν χόρτων ἀνθρώπες ἀντενοικήσας, ῥαόνως δὲ καὶ τε̃ ὑπερθύρε μετοχετεύσας τὲς ὀχετές. Οὐ γὰρ ὥςπερ ἐκεῖνος Ἀλέξανδρος Θήβας ὅλας κατασκαφείσας δι' ἀθλητὴν ἐς τὸν ἀρχαῖον βιάζῃ κόσμον ἐπανασώσασθαι, ἐδέ γε διὰ σοφὸν Σταγειρίτην τῆς Ὀλυνθίας πόλιν τὴν Στάγειραν, ἐδ' ὡς ὁ Πτολεμαῖος μετοχετεῦσαι ῥεῖθρον τὸ νείλιον [2])· μιᾷ δὲ πλακὶ πηχυαίᾳ τρισί τε κοφίνοις ἀσβέστου τῷ λιγδολόγῳ προςτεταχὼς τὴν περὶ τοὐμὸν ὑπερθύριον ἀλγηρὰν ταύτην ἐπιῤῥοὴν ἀποτρέψειας. Ὁ γὰρ ἄνωθεν ἡμῶν τὲς ὀχετὲς κατασύρων ὑπόνομος ἐδαφιαίαν [3]) τινὰ πλάκα ὡς πηχυαίαν τὸ μέγεθος παρασέσεισται περὶ τὸ ἡμῶν [4]) ὑπερθύριον· ἧς τῇ σῇ ἀντιλήψει καινεργηθείσης τῆς τοιαύτης ἐπηρείας καθ' ὁλοσχέρειαν ἀποτρέχομεν.

ιθ. ΤΩΙ ΕΠΙΣΚΟΠΩΙ ΚΛΟΚΟΤΙΝΙΤΖΗΣ ΚΥΡΙΩΙ ΛΕΟΝΤΙ [5]).

Γράμμα τῆς σῆς ἁγιωσύνης, ἱερώτατε [6]) δέσποτα, πρὸς τὴν ἡμετέραν καταπεμφθὲν ἐλαχιςότητα καὶ οὐθένειαν εἰς χεῖρας ἐμὰς ἐδεξάμην ὥςπερ ἐαρινὴν χελιδόνα εὐκέλαδον καὶ κατεμελίτωσέ μου τὰς ἀκοάς [7]). Τῇ γὰρ συνθήκῃ τῶν λόγων περιεβόμβει τὸ ἄλσος τῆς συγγραφῆς καὶ ἀττικῆς ἐνεπίμπλα με καὶ ἀκριβῶς ὑπεδεύκνυεν ὡς εἴη γέννημα πατρὸς ἀττικε̃ καὶ Πανδίονος καὶ Τηρέως καὶ Πρόκνης με ἀνεμίμνησκε καὶ ὅσα μεμυθολόγηται [8]) ἀττικὰ διηγήματα, τοσαύτην ἀπέῤῥει τὸ γράμμα τὴν ἡδονήν, τοσε̃τό με τῇ ψυχῇ θελκτήριον γάνος ἐνέσταξεν. Ὡς δὲ καὶ ὑγιᾶ σε καὶ ἄνοσον τὸν ἱερώτατον εἶναί μοι δεσπότην κατήγγειλεν [9]), ἔτι μοι μᾶλλον ἐπηύξανε τὸ τερψίθυμον. Δύο δὲ ὡς ἔοικεν ἡ ψευδάγγελος φήμη

---

1) B *ὀρανόθεν*.
2) AB Schol.: *Νείλιον· Νεῖλος, νείλιε, δίφθογγον καὶ ι· Νηλεύς, Νήλειον, η καὶ δίφθογγον.*
3) Cf. Tzetz. Chil. III, 211.
4) A *ὑμῶν*.
5) Cf. Hist. 142 usque ad Hist. 150.
6) B *θειότατε*, sed superscripto *ἱερώτατε*.
7) Cf. Synes. p. 38 D.: *καταμελιτε̃ντι τὰς ἁπάντων ἀκοὰς διηγήματι.*
8) B *μεμυθηγόρηται*.
9) B *κατήγγελεν*.

ἐντεῦθεν αὐτόθι μιᾷ χερσαίᾳ νηὶ ψευδίστατα διεπόρθμευσεν, ἣ καὶ τὸ σὸν γράμμα πεισθὲν ὡς πρὸς ἡμᾶς περὶ τούτων ἐπεσημήνατο. Τὰ δὲ ἄρα ἦσαν ὡς ὁ διδάσκαλος κύριος βασίλειος ψήφῳ τῆς ἱερᾶς γερουσίας ἐτάχθη τὴν παρ' ὑμᾶς, ἢ μᾶλλον ὑφ' ἣν ὑμεῖς Φιλίππου πόλιν ἱεροπρεπῶς ναυκληρεῖν καὶ τὸ τούτου πολλῷ τεραστιωδέστερον ὡς καὶ ὁ Τζέτζης τούτῳ συνεκδημήσειε [1]) *τὴν Μεγαλόπολιν παρεικώς. Οὐδὲν οὖν τοσοῦτον ἀπᾷδον καὶ ἀπεικὸς περὶ τοῦ διδασκάλου τοιαῦτά τινας ἀνατυποῦν ἀναπλάσματα· Τζέτζη δέ τινα ὑποπτεῦσαί τινι συνόλως ἐκδημῆσαι* [2]) *πρὸς Φιλιππόπολιν, εἰ μή που ὀργῇ τινι θεηλάτῳ ἢ βασιλικῇ δυσμενείᾳ σφοδράν τε καὶ ἀδυσώπητον ἐχέσῃ τὴν ἀγανάκτησιν ἐσχάτης ἀτοπίας ἐστὶ καὶ ψιλῆς ἐπινοίας ἀνάμεστον· οἷά περ εἶναι μυθεύονται οἵ τε Ἀντίποδες καὶ αἱ ἰδέαι τοῦ Πλάτωνος καὶ εἴ τι τούτων ψευδεπινούστερον. Ἀλλ' ὡς ἔοικεν ἄρα τις τῆς ἀχρημοσύνης* [3]) *μου καταγνούς, οὐκ ἐπιγνοὺς δέ μου τὸ ἐλευθέριον τοιοῦτον καὶ τοῖς τρόποις με ὑπετόπασεν. Ἀλλ' ἄρα ὁ τοῦτο ὑποτοπάσας πολὺ τῆς γνώμης μου διημάρτηκεν. Ἐγὼ γὰρ εἰ καὶ κομπηρὸν φάναι με ὑπεροχὰς σεβαστῶν παρωσάμενος καὶ βασιλέως παῖδας τοὺς πάντας σχεδὸν μεθ' οἵων με λιπαρούντας τῶν παρακλήσεων συνδιάγειν καὶ παραδυναστεύειν αὐτοῖς ὀβελίαν ἄρτον ᾑρετισάμην καὶ ὕδωρ ἐσθίειν* [4]) *μετ' ἀπράγμονος βιοτῆς ἢ ταῖς Σαρδαναπάλου τραπέζαις* [5]) *ἁβρῶς διαζῆν καὶ περιῤῥεῖσθαι πλούτῳ* [6]) *ὀχλοχαρεῖ καὶ θορυβώδει τῷ βίῳ. Ἀρκεῖ γὰρ ἐλευθερίως μικρά μοι καὶ πλειόνων ἀνελευθέρως οὐ κέχρημαι. Ἀφραίνοντι γὰρ καὶ παραπλησίον οἶμαι νοσοῦντι χρυσός, κόνις ὠχρά μοι δοκεῖ καὶ λίθοι ψήφων θαλάσσης ἐλαχιστότεροι, καὶ λῆρος πάντα ὁπόσοις ἄνθρωποι γαυροῦνται καὶ ἐναμβρύνονται. Ἄρτου μόνου καὶ ὕδατος κέχρημαι καὶ ὅσα περιβλημάτων τὰ χρειωδέστερα καὶ τὸ Πινδάρου καὶ Σολομῶντος ἀεὶ παραληρῶν τε καὶ παρακόπτων ἐκ τῆς φροντίδος προσλαλῶ· τὸ ματαιότης ματαιοτήτων, καὶ τὸ*

Τί δέ τις; τί δ' οὔ τίς; σκιᾶς ὄναρ Ἄνθρωπος [7]).

Ἂν γοῦν τις οὕτω χολῶντά με προφανῶς ἰατρεύσῃ τινὶ καθαρσίῳ κενώσας μου τὴν χολήν, συνιδὼν ἴσως τὸ δέον, ἕψομαι τοῖς κελεύουσιν

---

1) B *συνεκδημήσει.*

2) B *συνεκδημῆσαι.*

3) B *ἀγνωμοσύνης.*

4) A Schol.: *ἄρτον καὶ ὕδωρ ἐσθίειν, ἔλλειψις τὸ σχῆμα· ἄρτον ἐσθίειν, λείπει δὲ καὶ τὸ ὕδωρ πίνειν· ὡς παρ' Ὁμήρῳ, ἵπποι ἀερσίποδες.*

5) B *τρυφαῖς*, sed suprascr. *τραπέζαις.*

6) B *τῷ πλούτῳ.*

7) Pind. Py. VIII, 95.

ἕπεσθαι ὅπη καὶ ὅπως ἐθέλεσιν. Εἰ δ' ἔτως ἔχω πονήρως, ὥςπερ Γαληνὸς περὶ χολώντων καὶ μαινομένων διδάσκει, ἐδενὶ πάντως ἐφέψομαι, ἀλλὰ τὸν ἡσύχιον βίον αἱρήσομαι, ὃν θυμὸν καθ' Ὅμηρον ἔδων, πάτον ἀνθρώπων ἀλεείνων [1]) καὶ καθ' Ἱπποκράτην ἀπανθρωπέμενος ξύμφυλον ὄψιν ἀλλοτρίην νομίζων. Ταῦτα περὶ τῆς ἐμῆς ἀθενείας καὶ τῦ ἐμῦ νοσήματος γέγραφα· εἴη δὲ ἡ σὴ ἁγία εὐχὴ σὺν θεῷ συντηρῦσά με.

κ. *ΗΡΩΑΣ ΥΒΡΙΖΟΝΤΙ ΛΥΤΡΟΚΑΝΘΑΡΩΙ* [2]).

Μικρῦ Θερσίτης ἂν ἐλελήθει τὸν Ὅμηρον παρεντεθῆναι τοῖς ἔπεσιν, εἰ μὴ τοὺς ἥρωας ὕβριζεν. Ἀλλ' ὕβρις ἡρώων τῦτον ἐγνώρισε καὶ τῇ ποιήσει παρεζωγράφησε τέρας ἀδελφόν σοι τῇ μορφῇ καὶ ὁμότροπον, εἰ καὶ τῷ γένει πολὺ προφερέστερον [3]). Καὶ σὺ τὸ λοιπὸν ἄνδρας ἥρωας ὕβριζε, ὥστε θήσῃ συγγράμμασιν.

κα. *ΠΡΩΤΟΝΟΤΑΡΙΩΙ ΤΩΙ ΠΑΤΡΙΑΡΧΙΚΩΙ ΚΥΡΙΩΙ ΒΑΣΙΛΙΩΙ ΤΩΙ ΑΧΡΙΔΗΝΩΙ, ΕΝ ΤΗΙ ΕΙΣ ΤΟΝ ΛΥΚΟΦΡΟΝΑ ΕΞΗΓΗΣΕΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΠΙΓΡΑΦΗΝ ΕΥΡΟΝΤΙ ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΚΑΙ ΑΠΟΡΟΥΜΕΝΩΙ* [4]).

Φειδίας ἐκεῖνος ὁ πλάστης Ἀγορακρίτῳ ποτὲ χαριζόμενος φιλίας θεσμῷ ἀνθρώπῳ [5]) γραφικῷ μὲν τὴν τέχνην, ἀλλ' ἐκ εὐχείρως γράφειν εἰδότι αὐτὸς εὖ μάλα πρὸς πλαστικὴν εὐτεχνίαν ἀγαλματώσας τὸ [6]) ἐν Ῥαμνῦντι Διὸς καὶ Νεμέσεως ἄγαλμα τέτῳ ἀνέθηκεν ἐπιγεγραφὼς τῷ ἀγάλματι· Ἀγορακρίτε Παρίε, καὶ τὸ τῆς τέχνης ἐνδεὲς δι' ἐπιγράμματος ἐκείνῳ χαρίζεται. Εἶτα Φειδίας μὲν ξενίας θεσμῷ ἀνδρὶ δυςπαλάμῳ περὶ τὴν τέχνην χαρίσασθαι περὶ τὰ μέγιστα οὐ κατώκνησεν· ἡμεῖς δὲ περὶ τὸν ἀδελφὸν Φειδίε φανέμεθα δεύτεροι, καὶ ἐκ ἐπ' αὐτῷ ταὐτὸ τέτῳ Φειδίᾳ ποιήσαιμεν εὐπαλάμων [7]) τε ὕμνων τελῦντι κατὰ Πίνδαρον

1) Hom. Il. VI, 202.: ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

2) Cf. Hist. 151. 152. 153.

3) In Chil. πολυπροφερέστερος.

4) Cf. Hist. 154. Haec epistola e Cod. Paris. primum in lucem edita a Lud. Kuestero; caeterum male Sebastianus titulum ita vertit: *Ad Protonotarium Regium;* scribendum est potius: *Basilium.* Cf. quae de hac epistola iudicat G. Mueller. ad Schol. Lycophr. I, p. XXXII seq. et Fabricii Bibl. Gr. T. II. p. 419 seq., ubi titulus male: ἐν τῇ εἰς τὸν Λυκόφρονα Ἰωάννε τῦ Τζέτζε ἐπιγραφῇ εὑρόντι Ἰσαακίε τῦ Τζέτζε.

5) ἀνθρώπῳ om. ap. Fabric.

6) A τῷ.

7) A εὐπαλάμνων cf. in Epigr. ap. Aristoph. Eq. 530. ex Cratino, ut tradit schol., repetentem: Τέκτονες εὐπαλάμων ὕμνων. Ap. Fabr. quoque legitur εὐπαλάμων.

τέκτονι καὶ ἡμῖν στεργομένῳ ἀσύγκριτα, ἤπερ Φειδίᾳ ὁ Ἀγοράκριτος; Καθ' ὅσον ἄρα καὶ ἀδελφότης πρὸς θέλγητρα ξενίας ἐφελκτικώτερον, ἔτω κἀγὼ καὶ Φειδίας ἐκεῖνος τὰς ἐπιγραφὰς ἐπεγράψαμεν, ἀλλ' ἔτε ὁ Φειδίας ποτὲ ἔτε ὁ Τζέτζης νενόσηκε παραπληξίαν ἢ λήθαργον, ὡς ἐς [1]) τοσῦτον ἐλάσαι τῶν μανιῶν, ὡς καὶ τῦ οἰκεία λελῆσθαι ὀνόματος, καθά τινες ὑπετόπασαν.

κβ. ΤΩΙ ΚΥΡΙΩΙ ΘΕΟΔΩΡΙΤΩΙ ΤΩΙ ΚΟΤΕΡΤΖΗΙ [2]).

Ἅγιέ μου αὐθέντα, τῷ κυρίῳ Κωνσταντίνῳ ἀναμιμνήσκων με, εὖ ἴσθ', ὅτι τὸ τῆς ἐμῆς καρδίας ἕλκος λωφῆσαν ἤδη τὸ δι' αὐτόν μοι συμβὰν ἐπιξαίνεις καὶ πάλιν ἐξ ὑπαρχῆς ἑλκαίνειν ποιεῖς. Ἐγὼ γάρ, μάρτυς μοι τοῦ λόγε θεός, τὴν παντελῆ περὶ λόγες τέτε κατῤῥαθύμησιν καὶ ἀμέλειαν καιρίαν λογίζομαι πληγὴν κατακάρδιον καὶ ὀδυνῶμαί σου πλέον τῷ πάθει τῦ φύσει πατρός. Πρόσχες με γῦν τῇ γραφῇ καὶ τὸ πᾶν ἐκ μικρῦ λόγε μαθήσῃ σαφέστατα. Πέντε μὲν ὁλοκλήρες βίβλες μεγάλας οἱ σὺν αὐτῷ συμφοιτῶντες προηρμηνεύθησαν· ἐκείνων δὲ αὐτὸς παντελῶς ἀπελείφθη, καθάπερ πρώην προεδηλώθη σοι αὐτοσομάτῳ καὶ ζώσῃ φωνῇ. Καὶ νῦν δὲ πάλιν μετὰ τὴν δευτέραν αὐτῦ καταρχὴν ἑτέρας τρεῖς βίβλες οἱ τέτε συμφοιτηταὶ ἑρμηνευόμενοι τὰς μὲν περὶ τέλος τὰς δὲ περὶ μέσον τὰς δὲ πολύ τι παρεξέδραμον τῆς ἀρχῆς. Οὗτος δὲ ἐδὲν ὅλως [3]) ἡρμήνευται ἢ μεμάθηκε, κἂν περ τὴν σὴν αὐθεντίαν ἀπατᾷ καὶ ἠπάτηκε. Τοιῦτον οὖν ἀνεθέτητον παντελῶς καὶ σκληρόψυχον τῦτον ὁρῶν δέομαι τῆς σῆς αὐθεντίας, ἐν δάκρυσι σχεδὸν πλέον ἢ μέλανι τὸ γράμμα χαράξας, ὡς ἂν διὰ τῆς σῆς ἀντιλήψεως ἐξ ἐμῦ ἐξέλθῃ ἀναίτιον ὄνειδος, εἰς ἑρμηνέα τινὰ τῶν ἑτέρων αὐτὸν ἀποστείλας, καὶ ἴσως ἂν ἐκεῖνον καταιδεσθεὶς καὶ μαθημάτων τινῶν σπεδαιότερον ἀντιλήψεται. Σταλήσονται δὲ τῇ σῇ αὐθεντίᾳ καὶ τὰ νομίσματα· ἐγὼ γὰρ κατὰ τὲς προγνωστικωτέρους τῶν ἰατρῶν ἰδὼν τὸ ἕλκος δυςούλωτον ἢ μᾶλλον πάντῃ ἀνιάτον τέτε τὴν θεραπείαν ἀπειπάμην καὶ ἀπηγόρευσα. Ἐδόκει γάρ, ἅγιέ με αὐθέντα, εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἓν κἂν ἀπεργάσασθαι γραμματικὸν αὐτὸν μὴ χωλεύοντα, ὥςπερ χωλεύει ταννῦν ἢ καὶ παντελῶς ὑπάρχει γραμματικῶν ὀργίων ἀμύητος, ὅς ὑπὲρ ἐμαυτοῦ [4]) μηδέποτε λυπηθείς, ὑπὲρ ἀλλοτρίων δὲ συμφορῶν καθ' Ἱπποκράτην ἰδίας λύπας καρπέμενος.

---

1) ἐς om. ap. Fabr.

2) Cf. Hist. 155. Haec et seq. ep. ad Theodoritum, fratrem Constantini Cotertzae, datae sunt, de quo v. not. ad ep. 68.

3) B ἐδόλως.

4) In B littera μ erasa est, ut legendum videatur ἑαυτῦ.

κγ. ΤΩΙ ΑΥΤΩΙ [1]).

Φρύνιχος μὲν ἐκεῖνος ὁ ποιητὴς τοῖς ἄνω χρόνοις Μιλήτε γεγράφηκεν ἅλωσιν, ὑπαναγνὲς δὲ τὸ δρᾶμα τοῖς Ἀττικοῖς μελανειμονῆσαι τὸ θέατρον παρεσκεύασε, πηγαὶ δὲ δακρύων καθάπερ ἀπό τινος μελανύδρε τῆς κρήνης τῶν ὀφθαλμῶν τῶν παρεστώτων ἀπέῤῥων [2]). Οὕτως ἐκεῖνος [3]) τὸ δρᾶμα Μιλήτου περιπαθῶς ἐξετραγῴδησεν ἅλωσιν, οὕτω ποτὲ [4]) τὸ θέατρον παρεσκεύασεν εἰς ὀλοφύρσεις καὶ δάκρυα. Ἀλλὰ ταῦτα μὲν Φρύνιχος οἶδε καὶ ἀττικὴ γερεσία καὶ Μίλητος· ἐγὼ δὲ, ὦ ἱερὰ κεφαλὴ καὶ αἰδέσιμος, γηραλαῖε [5]) μὲν τῇ πολιᾷ, εὐγενές τε τῷ γένει πολλῷ [6]) πλέον κομῶν εὐγενείᾳ ψυχῆς, περιπαθές σε νῦν γράμμα δεξάμενος, ὅπερ ἢ Φρύνιχος [7]) ἢ Ὀρφεὺς ἐκεῖνος ὁ μέγας ἀναβιὺς [8]) ἐτραγῴδησε συγκερασάμενος πένθεσιν, ἐκ εἶχον ὅπως ἐπισχήσω τὰ δάκρυα, ἀστακτὶ δέ μου ταῦτα τῶν ὀμμάτων ἀπέῤῥεεν. Ἐπέγνων γὰρ τὴν γραφὴν πατρὸς ὀδυρομένην [9]) καρδίαν ἐμφαίνουσαν καὶ πάθει συγκοπτομένην ὑπὲρ υἱοῦ περὶ λόγες ἀποναρκήσαντος. Ὑπέγνων ἐν ταύτην καίπερ συγκοπτόμενος [10]) τῷ πάθει με τὴν ψυχὴν καὶ τῷ χορῷ τῶν ἐμοὶ τὰ πρὸς λόγες πεφοιτηκότων. καὶ ἦν ἰδεῖν τὸ Ὁμήρειον, τό· Κλαῖε μὲν Μενέλαος, κλαῖε δὲ ἀνθ' Ἑλένης ἄλλοθεν ἄλλος [11]), ἐδ' ἄρα Τηλέμαχος ὁ σκληρὸς περὶ λόγους καὶ ἀκαμπὴς ἀδακρύτω ἔσχεν ὄσσε [12]). Τοιαύτην σου τὸ σταλὲν ἡμῖν γράμμα περιπαθῆ τραγῳδίαν ἐκίνωσε· πλὴν ἀλλά σε μικρὸν παρηγόροις τοῖς λόγοις ἀνακτησαίμεθα. Πρὸ τῆς σταλείσης γραφῆς σου ὁ ἀκαμπὴς καὶ σκληρόψυχος ὑπέκλινε μικρὸν, περὶ λόγες τὸν αὐχένα ὑπέκλινε· καταδέσμες γὰρ ἀεὶ τέτῳ ἐγὼ καὶ στυπτηρίες [13]) καὶ δάκνοντας καὶ δριμεῖς τὲς λόγες οἷον ἐμπλάστρες ἐντίθημι καὶ δὴ καὶ τὸ σεσηπὸς καὶ πυῶδες ἐπανακτῶμαι. Χρεία δὲ καὶ ὑμετέρων [14]) εὐχῶν καὶ δραστηρίων πομάτων

1) Cf. Hist. 156. 157. 158.
2) B ἀπέῤῥεον.
3) B ἐκείνου.
4) B τότε.
5) B αἰδέσιμε, γηραλέε.
6) B πολλῷ δὲ πλέον.
7) B φρύνιχος ἄλλος ἤ.
8) A male αὐτὸς.
9) B ὀδυνωμένην.
10) A συγκοπτομένην.
11) Odyss. IV, 184 seq.
12) B ὄσσει.
13) στυπτήριος, quam vocem nusquam alibi invenio, idem significare videtur quod στυπτηριώδης s. στυπτικὸς, astringendi vim habens.
14) A ἡμετέρων.

καὶ στυπτηρίας δὲ ἀγαθῆς πρὸς τὸ τῆς ῥώσεως τέλος. Καὶ θεὸς πάντως οὐ περιόψεται τὴν συνεργίαν ἀμφοῖν καὶ τὰς πόνες τὰς ἀμφοτέρωθεν, ὅς καὶ διατηρήσαι σε ὑγιαίνοντα ψυχῇ τε καὶ σώματι.

κδ. ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΑΝΕΨΙΩΙ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΑ ΣΤΕΙΛΑΝΤΙ ΕΠΙΓΕΓΡΑΜΜΕΝΑ ΧΟΡΙΚΙΟΣ.

Οὐκ ἔστι τὸ παρὸν βιβλίον χορίκιος· χωρίκιος δ' ἂν εἰκότως καλοῖτο ὁ τέτῳ τὴν ἐπιγραφὴν ἐγχαράξας, οὗτος γὰρ ὁ Σταγειρόθεν σοφός ἐστι τὰ ἤθη ῥυθμίζων.

κε. ΤΩΙ ΑΥΤΩΙ.

Τὰ μὲν βιβλία εἰς οὐδὲν σοι ταῦτα λυσιτελέστατα, οὔτε Λιβάνιος, οὔτε αὐτὸς ὁ Λυσίας· ἐδὲ γὰρ ἔχεσιν ἡμῖν τι χρειωδέστατον. Ἀντίςρεψον ἐν ταῦτα ταχέως τῷ δεδωκότι σοι, ἵνα μὴ μείζω τὴν χάριν ὀφείλων τέτῳ φανείης. Τἆλλα δὲ ἡμῖν πάντα μελήσει, εἰ [1]) μόνον αὐτός μοι ταῦτα διατρανώσειας, ἅπερ σοι καὶ τῆτες ἀπήτεν.

κς. ΤΩΙ ΑΥΤΩΙ ΠΕΠΟΜΦΟΤΙ ΣΤΑΣΙΩΝΤΑ ΗΜΙΟΝΟΝ [2]).

Ἡμίονον ᾐτησάμην παρὰ τῆς σῆς εἰς ἡμᾶς διαθέσεως, δέσποτα, σὺ δέ μοι ἀξίνην ἀπέσταλκας ἀχάλκευτόν τε καὶ δύστομον· ταύτῃ γὖν εἰ καὶ μόλις ποτὲ συντεμόντες πᾶν ἡμέτερον ξύλον εἰς σχίδακας πάλιν ταύτην εὐχαριστῦντές σοι ἀντεπέμψαμεν. Εἰ δὲ καὶ σὺ κατά τί ποτε δεηθείης ἡμῶν, σκάφας μὲν αὐτὸς ἀπαιτήσειας, ἡμεῖς δ' ἄμας [3]) ἀπαρνησαίμεθα. Γίνωσκε δὲ ὡς καὶ τὸ τῦ παρασίτε πεπόνθαμεν, κληθέντες [4]) εἰς λαμπροτάτην ἑστίασιν καὶ ὕτω πως ὑστερίσαντες.

κζ. ΤΩΙ ΑΥΤΩΙ.

Δίκαιοι ἂν εἴημεν, δέσποτα, παρὰ σοὶ τέως πάσης αἰτίας ἐκτὸς [5]) καθεστηκέναι καὶ μέμψεως· ἡμεῖς γὰρ καὶ δι' ἀγγέλων σοι μεμηνύκαμεν καὶ αὐτοποδίᾳ τὴν σὴν καταλαβόντες οἰκίαν εὑρεῖν σε οὐκ ἠδυνήθημεν. Οὕτως ἡμεῖς μὲν ἐν οἷς ἐ δέον κατάκοποι μάτην γινόμεθα· σὺ δὲ ἀναπεσὼν

---

1) Post εἰ A μὴ addit, quod B omisit.

2) Cf. Hist. 159 et 160.

3) Alludit ad proverbium: ἄμαις καὶ σκάφαις ἀρύσασθαι. Caeterum nostri codices legunt ἅμας, quod scribendi genus ab optimis grammaticis reprobatum esse Bremi ad Aeschin. Ctes. 122 docet.

4) B κλιθέντες.

5) B πάσης ἐκτὸς αἰτίας.

ῥαθυμεῖς ἐν τοῖς τοιούτοις σπουδαιοτάτοις καιροῖς, ὥστε θαυμάζειν ἐμέ. Ἀξιῶ γοῦν σε κἂν ὀψὲ τὴν νάρκην ἀποσεισάμενον ἐν τοῖς τοιούτοις καιροῖς διανίστασθαι καὶ δραστηριώτερον γίνεσθαι. Ἔῤῥωσο.

κη. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΤΟΥ ΨΥΛΛΟΥ [1]).

Ἔξεστι μέν σοι διδόναι καὶ μὴ διδόναι ἐφ᾽ οἷς αὐτὸς χαρίζεσθαι ὑπισχνῇ· ἃ δὲ παρ᾽ ἑτέρων λαμβάνεις μὴ ἀποδιδόναι οὐκ ἔξεστι. Διά τοι τοῦτο κύριος εἶ δοῦναι καὶ μὴ δοῦναι τὴν κέγχρον ἣν ὑπεσχέθης χαρίσασθαι, ἀδικεῖς γὰρ κατά γε τοῦτο οὐκ ἄλλον ἢ σε αὐτὸν τοῦ ψεύδους ἐχόμενος καὶ τυραννῶν τὴν ἀλήθειαν. Τοὺς δὲ χάρτας οὓς ἔλαβες παρ᾽ ἐμοῦ ἀνταπόδος μοι πάλιν ἢ ἀνταπόστειλον, εἰ μὴ καὶ σεαυτὸν ἅμα βούλει καὶ ἡμᾶς ἀδικεῖν. Ἀδικούμεθα γάρ, εἰ μὴ ὃ δεδώκαμεν ἀπολάβοιμεν, τὸ δὲ ῥητὸν ἐκεῖνο Σωκράτους καὶ οὐχ ἡμῶν ἐστὶ τὸ Ἀδικοῦσι μὲν πολλοί, ἀδικεῖται δὲ οὐδὲ εἷς [2]). Ἡμεῖς δὲ ὥςπερ [3]) προέφημεν μὴ ἀπολαβόντες ὅπερ δεδώκαμεν ἀδικούμεθά τε ὄντως καὶ ἀδικεῖσθαι νομίζομεν.

κθ. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ.

Ἐκ πολλῶν ἀποχρώντως [4]) ἤδη τετεκμηρίωταί [5]) μοι καὶ ἐμπεπέδωται, δέσποτα, καὶ οὐκέτι ἀμφιδοιάζω, ὅτι τῆς κρείττονος μοίρας ἡμεῖς παρὰ σοί, ὅθε [6]) τεθαῤῥηκότως καὶ μετὰ παῤῥησίας, ἣν αὐτὸς ἐχαρίσω μοι, γράφω σοι τῷ κυρίῳ μου. Κατὰ τὴν σήμερον, δέσποτα, μέλλει τις τῶν ἐμῶν χειροτονηθῆναι διάκονος καὶ δεῖ [7]) κἀμὲ τῇ τοιαύτῃ συμπαρομαρτεῖν ἑορτῇ, ἐπεὶ καὶ προκέκλημαι παρ᾽ αὐτοῦ. Ὄμβρῳ δὲ νυκτερίῳ τῶν ἀμφόδων τελματωδῶν γενομένων αὐτοποδίᾳ βαδίσαι οὐ δύναμαι· ἡμίονος οὖν μοι σταλήτω διὰ τῆς σῆς ἀντιλήψεως πλὴν μετὰ χαλινοῦ· εἰ δὲ καὶ ἀσσυρίαν φρυγανίδα μοι στείλαις ὀλίγην, ἣν ἡ [8]) συνήθεια καλεῖ ξυλαλόην, ὅπως ἡμᾶς θεραπεύεις μακρὸν καὶ περίεργον γράφειν σοι. Εἰ οὖν ἔχεις καὶ κατανεύσειας στεῖλαί μοι, ἀποσφραγισάμενος ταύτην ἀπόστειλον· ἡμίονον δὲ μηδέποτε παρὰ μηδενὸς παραλογισθῇς ἀποπέμψαι μοι, εἰ μὴ τύπους σοί τις τῶν ἐμῶν γραμμάτων ἀποκομίσειε. Τοῦτο γὰρ ὁ Χρυσοβελόνης με προὐδιδάξατο, ἀπατήσας τὸν Καλλιώτην ἡγού-

---

1) Cf. Hist. 161.

2) Cf. Hesiod. O. D. v. 265 sq.: οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων, ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

3) B ἡμεῖς γὰρ εὖ ἴσθι ὥςπερ.

4) In B superscriptum ἀρκούντως.

5) A τεκμηρίωται.

6) B ὅθεν.

7) A καὶ δή.

8) B omisit artic. ἡ.

μενον καὶ τὸν τέτε λαβὼν καὶ ἀπεμπολήσας ἡμίονον, ὡς μέλλων τῦτον δῆθεν ἀποκομίσαι τῷ νομικῷ. Ὁ τῆς εἰρήνης θεὸς συντηροίη 1) σε τὸν ἐμὸν δεσπότην μακροχρόνιον ὑγιᾶ τε καὶ χαίροντα.

λ. ΤΩΙ ΠΑΤΡΙΑΡΧΗΙ ΚΥΡΙΩΙ ΜΙΧΑΗΛ ΩΣ ΑΠΟ ΤΙΝΟΣ 2).

Τοσῦτον ἐκ τῶν σῶν δῦλος ἐγὼ πολλοστὸς, τοσῦτον ἐλάχιστος, τοσοῦτον ἀνάξιος τῶν σῶν μεγαλοδωρεῶν 3), ὦ θεοπρόβλητε δέσποτα, ὦ πατριαρχῶν ἀκροθίνιον, ὦ τῶν ὑλαίων τέτων καὶ χαμερπῶν ὑπερκείμενε, ὦ παρὰ τῆς ἄνωθεν δεξιᾶς τοιούτοις δυςχερεστάτοις καιροῖς ἐπιβραβευθεὶς ἡμῖν φρερὰ καὶ ὀχύρωμα, οὗ τὸ δάκρυον τὴν γῆν ἀνωμάλως ταλαντεμένην καταχεθὲν ὑπεστήριξεν ὥςπερ τι κολλητικώτατον ἕδρασμα, ὗπερ αἱ προςευχαὶ καὶ νηστεῖαι θεμελιῦχον βάθρον γεγόνασιν ἄῤῥηκτον, ὦ τῷ ὑλαίῳ μὲν καὶ πηλίνῳ σώματι ἄνθρωπε, τῇ πολιτείᾳ δὲ ὑπὲρ ἄνθρωπον, τοσῦτος ἄτιμος ἐγὼ, τοσῦτος 4) ἀνάξιος τῶν σῶν μεγαλοδωρεῶν θεοτίμητε. Ἐκτρέφεις μὲν γὰρ καὶ αὐτὸς μυριάδας λαῦ κατὰ τὸν ἐμὸν Ἰησῦν, κἂν ἐκ ἐξ ὀλίγων κλασμάτων, ἀλλ᾽ ἐξ ὁλοκλήρων τῶν ἄρτων, καὶ χρυσίον δὲ ἄλλοις ἀφειδεστέρως ἀντλεῖς καὶ ἄλλοις ἄλλα τὰ χρειωδέστατα, ἡμεῖς δὲ τῶν ἀρτοκλασμάτων καὶ τῦ χορῦ τῶν σῶν δαιτυμόνων καθυστερίζομεν ἢ καὶ παντελῶς παρορώμεθα. Τὸ περὶ πάντας γῦν προςηνές σε καὶ φιλάνθρωπον, ὦ θεοείκελε δέσποτα, κἀμὲ τολμητίαν ποιεῖ, καὶ δέομαι τῆς μεγίστης ἁγιωσύνης σε εὐλογίαν ἡμερησίαν προςκυνρωθῆναί μοι δίδοσθαι ἐφ᾽ ὅρῳ παντὶ τῆς ζωῆς με.

λα. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ ΓΕΝΟΜΕΝΩΙ ΚΟΚΚΙΑΡΙΩΙ 5).

Ἦμος κόκκυξ κοκκύζῃ δρυὸς ἐν πετάλοισι (κατὰ τὸν Ἀσκραῖον ἐκεῖνον Ἡσίοδον 6) κοκκίζειν ἀλλ᾽ οὐ κοκκύζειν), ἐξῆλθες δὴ καὶ αὐτὸς ὦ 7) πανευγενέστατός μοι δεσπότης καὶ ἀνθρώποις πᾶσι φιλέμενος, ὅσοι τέως ἐς πεῖραν τῆς σῆς ὁμιλίας ἀφίκοντο. Ἐκ τέτε 8) δὴ χρόνου καὶ μέχρι

1) A συντηρείη.

2) Cf. Hist. 162. Epistola haec data est ad Michaelem Oxytam patriarcham Cp. quem Jo. Cinn. (33, 3.) virum liberalibus disciplinis humanioribusque literis leviter quidem imbutum, at morum elegantia rerumque divinarum scientia maxime conspicuum fuisse refert.

3) B μεγάλων δωρεῶν.

4) B τοσέτων.

5) Cf. Hist. 163.

6) Hesiod. op. 486. cf. Steph. Lex. ubi Miller monet, Tzetzam perperam κοκκίζειν οὐ κοκκύζειν scripsisse.

7) B ὁ παν.

8) B ἐκ τοσέτε.

τε νῦν ἐκ ἐπεφοίτησε γράμμα τῆς σῆς αὐθεντίας ἡμῖν τρανῶς διαγγέλλον ὡς ἔχει τὰ κατὰ σέ· εἴη δὲ ὑγιῶς καὶ ἀνόσως καὶ δυσχερῶν συναντημάτων ἐκτὸς ἐν πᾶσι παντοίως [1]) εὐμαριζόμενα, ὅπερ ἀεὶ δι᾽ εὐχῆς μοι καθέστηκεν. Ὑγιῶς μέχρι τοῦ νῦν ἔχω κἀγὼ θεοῦ τὴν ὑγείαν μοι πρυτανεύοντος. Καὶ προςκυνῶ σε διὰ τε παρόντος με γράμματος καὶ ἀξιῶ τὴν σὴν αὐθεντίαν, δι᾽ ἣν ἔχεις πρὸς ἡμᾶς στοργὴν, πρωτοτύπως μὲν γραφῆς ἡμᾶς ἀξιοῦν, μεμνῆσθαι δὲ καὶ ὧν ὑπεσχέθης μοι περὶ ὧν ἠξιώσαμεν, ὡς κατὰ τὸν Ἄπρων ἡμᾶς ἐν τοῖς σοῖς ὑποτέλεσιν εὑρήσειας ἐν τῷ Ξηρῷ καλεμένῳ χωρίῳ. Μέμνησο γε̃ν τῆς σῆς ὑποσχέσεως. Ὃς δ᾽ ἂν σοι γράμμα ἐμὸν εἰςκομίσειεν οἰκειόγραφον, ε̃τός ἐςι περὶ οὗ ἡ ἀξίωσις, περὶ οὗ τὴν ἱκετηρίαν ποιέμεθα· ἱερεὺς δὲ ὁ ἀνὴρ, Λέων τὴν κλῆσιν, ἔτι δὲ τὸν στίχον αὐτε̃ ἀγνοῶ, πῶς ἄρα καὶ ὀνομάζεται. Τε̃τον ἐν ὡς ἐμὲ βλέπε διὰ τῆς σῆς ἀντιλήψεως, κἂν τε τῆς πρώτης μοίρας τῶν αὐτόθι τελέντων ἐστὶ, κἂν τε τῶν ἀζήλων καὶ πενιχρῶν καὶ τῶν ὅπως δήποτε, ε̃τω γὰρ μᾶλλον φανεῖται τὰ τῆς σῆς διαθέσεως ζώπυρα πρὸς ἡμᾶς ἐναργέστατα. Ὁ θεὸς καὶ πατὴρ τῆς εἰρήνης συντηροίη τὸν ἐμὸν, σὲ, δεσπότην ὑγιᾶ τε καὶ μακροχρόνιον.

λβ. ΤΩΙ ΚΥΡΙΩΙ ΣΤΕΦΑΝΩΙ ΤΩΙ ΔΙΔΑΣΚΑΛΩΙ [2]).

Μετὰ τὴν περιφορὰν καὶ περίοδον τῶν τοσέτων μηνῶν, καθ᾽ οὓς ὡς ὁ πρὶν ἐκεῖνος Πυθαγόρας ἐσίγησα ἢ μᾶλλον ὥςπερ τις ἀνδριὰς ἄφωνος, δι᾽ ἀγγέλε μικρόν σοι παρηνώχλησα προςφθεξάμενος καὶ δὴ καὶ ὑπόσχεσιν ἐδεξάμην, ὡς ἀντισταλείη πρωταῖον ἢ δευτεραῖόν μοι τὸ τετράδιον. Ἐπεὶ δὲ καὶ πάλιν παρῳχήκεσαν ἑβδομάδες ὑπὲρ τὰς ἑβδομάδας τε̃ Δανιὴλ καὶ ε̃πω σοι τὰ τῆς ὑποσχέσεως τὸ πέρας ἀπείληφεν, ἰδὲ καὶ πάλιν περὶ τοῦ τοιε̃τε τετραδίου παρενοχλῶ σοι, ὅπως σταλείη μοι καὶ τὴν φιλοσοφίαν ἐντεῦθεν καλῶ ε̉ γνῶσιν τῶν ὄντων ᾗ ὄντα εἰσὶν, ἀλλὰ διδασκαλίαν καὶ παίδευσιν τε̃ ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὅμοια [3]).

λγ. ΤΩΙ ΑΥΤΩΡΕΙΑΝΩΙ ΚΥΡΙΩΙ ΘΕΟΔΟΣΙΩΙ [4]).

Πολλὺς παρέῤῥευσεν ἤδη καιρὸς, τριφίλητέ μοι γραμματικὲ λογιώτατε, ἀφ᾽ οὗ τῆς Βασιλίδος ἐξεδήμησας πόλεως, γράμμα δὲ ε̉δὲν [5]) ἐδόλως ἡμῖν τῆς σῆς ἀγάπης οὐ προςεπεφοίτησεν. Διὰ τε̃ παρόντος μου

1) B πάντως.

2) Cf. Hist. 164 et 165.

3) Odyss. XIX, 203.

4) B Θεοδώρῳ. — αὐτορειανὸς est iudicis pedanei species apud Byzantios, cuius non semel meminit Theodorus Hermopolita. Lectio αὐτωρειανὸς apud Pachym. II, 32 exstat.

5) B om. ε̉δέν.

γοῦν ἐπιστύφω σε γράμματος καὶ τὴν ῥαστώνην κατονειδίζω σε. Γράφε οὖν ἡμῖν τὸ λοιπὸν, οὐ γὰρ ἀνάριθμοι τῆς σῆς φιλίας ἡμεῖς ἀλλὰ τῶν λίαν φιλούντων σε καθεστήκαμεν. Οἱ σὺν ἡμῖν πάντες διὰ τοῦ παρόντος σε κατασπάζονται γράμματος, ὑγιᾶ τε καὶ μακροχρόνιον ἐπευχόμενοι συντηρεῖσθαί σε τῇ τοῦ θεοῦ εὐσπλαγχνίᾳ καὶ ἐπανῆξαί σε κεχαρμένον ὅτε καὶ βούλοιτο.

λδ. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ [1]).

Λέλυταί μοι τοῦ λόγου τὰ χαλινὰ καὶ πρὸς τὴν σὴν αὐθεντίαν ἅπαξ ἀδείας δοθείσης μοι καὶ τεττίγων λαλίστερος γίνομαι, θειότατε δέσποτα. Εἰ γοῦν ὁ ἐμὸς φεραυγέστατος ἥλιος μέχρι παντὸς τοιαῦτά μοι τηροίης τὰ ζώπυρα ταῖς σαῖς περιθάλπων ἀκτίσι, πολὺ τορώτερον τερεττίζειν ἐκ ἀποκνήσαιμι [2])· εἰ δὲ τὴν σὴν εἰληθέρησιν ἡμῶν ἀποστρέψειας, οὐδὲν ἀφονώτερον τῶν σεριφίων βατράχων κωλύει γενέσθαι με· ἀλλὰ τοῦτο γεγονέναι περὶ τὴν σὴν εὐγενεστάτην ψυχὴν οὐδέποτε ὑπετόπασα. Εἴης δέ μοι ὁ χρυσοῦς δεσπότης μακραίων καὶ κεχαρμένος καὶ ἄνοσος, θεῷ συντηρούμενος καὶ ἡμῶν εὐμαρῶς κατακούων ἐν οἷς ἂν σε δεοίμεθα. Δέομαι τοίνυν ὡς παῤῥησιαστικωτέραν ἡμῖν ἐξεχώρησας ἐλευθέρῳ καὶ ἀκαταδέλφῳ τῷ λόγῳ ζητεῖν ὅπερ δὴ καὶ βουλοίμεθα, ἵνα τὸν ἱερέα τουτονὶ Λέοντα, ἄλλον ἐμὲ πεφυκότα, δι' ἣν τετήρηκα καὶ εἴθε τηροίην πρὸς τὸν ἀδελφὸν τοῦτον στοργὴν καὶ ὁρᾷς ὥσπερ ἡμᾶς καὶ τιμᾷς διὰ τῆς σῆς πρὸς ἡμᾶς κηδεμονίας καὶ ἀντιλήψεως· καὶ εἰ ἄρα τῶν εὐμαρῶν καὶ ῥᾳδίων ὡς αἱ φῆμαι θρυλλοῦσι καὶ ἱερέων τῶν ὁμοχώρων καὶ συμπατριδῶν φέρειν τὰ πρῶτα χαρίσαις· θρυλλοῦσι γὰρ αἱ φῆμαι τοῖς κατὰ σὲ πράκτορσι τοῦτο τυγχάνειν τῶν εὐχερῶν. Εἰ μὲν οὖν ἀτρεκῆ τὰ τῆς φήμης, τοῖς ἔργοις καθικετεύω σε τὸ ἀτρεκὲς ὑποδεῖξαί μοι· εἰ δὲ λογοποιὸς ἡ φήμη καὶ καταψεύδεται, ἔα ταυτηνὶ φληναφοῦν ληροῦσαν καὶ παραπαίουσαν, τήρει δὲ μόνον στοργὴν πρὸς τὸν ἄνδρα καὶ περίεπε τοῦτον ὡς ἐμὲ καὶ ὡς σόν. Ὁ δὲ πατὴρ τῆς εἰρήνης θεὸς μέχρι παντὸς ἀπαραπόδιστον καὶ πᾶσιν εὐοδούμενον συντηροίη σε.

λε. ΦΙΛΩΙ ΑΞΙΩΣΑΝΤΙ ΓΡΑΨΑΙ ΙΚΕΤΗΡΙΑΝ ΚΟΜΨΗΝ ΑΤΤΙΚΙΖΟΥΣΑΝ [3]).

Περισσὰ ταῦτα καὶ πάρεργα καὶ περίεργα καὶ τερατείας εἰκαίας καὶ κόμπου ῥητόρων ἀνάμεστα καὶ ἀνδράσιν ἀργοῖς καὶ σχολάζουσι [4]) καὶ κομμωταῖς λόγων καὶ καθ' ὑμᾶς ἀφρόντισι προσφυέστατα, ἀπεοικότα

1) Cf. Hist. 166 et 167.
2) B τε ῥεττίζειν οὐκ ἂν ἀποκν.
3) Cf. Hist. 168 et 169.
4) B σχολάσι.

δὲ ἀφ' ἡμῶν οἷα βίον βιέντων ἄσχολόν τε καὶ πολυφρόντιδα. Ὅμως δέον γὰρ καὶ τοῖς ἀφρόντισι φίλοις ὑπείκειν τὺς πολυφρόντιδας καὶ τοῖς σχολάζεσι τοὺς ἀσχόλες καὶ τοῖς παίζεσι τοὺς σπεδάζοντας. Ἔγραψα μὲν αὐτὸς τῷ λιπαρεῖ τῶν λόγων ὑπείξας σε· ἄρξαι δὲ αὐτὸς ὁπόθε [1]) βέλει τῆς ὑποθέσεως, τὸ δὲ ἐντεῦθεν τὰ ὑπ' ἐμῦ γεγραμμένα σοι προςφυέςατα, καὶ κόλλα καὶ γόμφε καὶ ἅρμοττε· Ἁρμονίδης γὰρ πολλῷ πλέον συ ῥήτωρ ἤπερ ἐκεῖνος ὁ τέκτων ὁ Φέρεκλος καὶ παρῳδιῶν τε καὶ κολλήσεων ὖκ ἀμύητος.

λς. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ [2]).

Οἶμαι μὲν ὖν, μᾶλλον δὲ ὖκ ἐπιδοιάζων ἐπίσταμαι ἀκριβῶς, ὡς τὸ τῆς σῆς ὑπεροχῆς ἀγχινέστατον ἀραρότως οἶδε καὶ ἀναμφηρίςως τὸ περὶ τὺς ὀφεωδήκτες ἑτεροπόσιμον ἴαμα. Δέδηκται μὲν γὰρ ὡς λόγος ὁ ὀφεώδηκτος καὶ πόῤῥω ποι διάγει νοσηλευόμενος· τῦ δὲ τὸ πάθος ἀγγείλαντος [3]) ἄνανδον ὕδωρ μετ' ἐπῳδῆς ἐκροφήσαντος εὐθὺς ἐκεῖνος ἐπισπᾶται τὴν ἴασιν, ἑτεροσπλάγχνοις τοῖς μέλεσιν ὖκ οἶδ' ὅπως εἰπεῖν διαδοσίμου γεγονότος τῦ πόματος. Ἀνεπαντίως ὖν ἐκείνοις ταννῦν ἐπεπόνθειν αὐτός· οἱ μὲν γὰρ ὡς οἶδας ἑτέρου πίοντος ἰῶνται, ἐγὼ δὲ τῆς σῆς αὐθεντίας ἀποδημέσης ἀλγῶ καὶ τὰς ἡδονὰς παρεσύρην καὶ τῶν προαστεισμῶν ἀπεστέρημαι καὶ ὔτε τὸν βαθὺν νῦν ἑώρακα ῥύακα ὔτε συκάσαι ποι πεπόρευμαι, ἀλλ' ὖδὲ τεθέαμαι τὺς περὶ τὴν ἀχειροποίητον ἐξ ἔθες εἰλαπινάζοντας. Δέδοικα δὲ μὴ καὶ τὰ οἰνάρεά με σιγῇ παροιχήσεται ᾄσματα καὶ ὁ ληνοβάτης Διόνυσος, καὶ πῶς γὰρ οὔ; εἴπερ αὐτὸς μὴ ἐπιχωριάζων μοι φαίνῃ, ἐξ οὗπερ ὡραῖοι καὶ εὐμεγέθεις καὶ εὐβαδεῖς, ὅτε δεοίμην, ἐστέλλοντό μοι ἡμίονοι, ἀλλ' εἴη θεόθε φρουρεῖσθαί [4]) σε τὸν δεσπότην με τὸν παντοίως ἐμῦ ἐξεχόμενον καὶ ὑγιᾶ καὶ κεχαρμένον ἐπαναζεῦξαί σε τὰς ἀνὰ χεῖρας δελείας ἀνύσαντα καὶ ἡμῖν εὖ οἶδ' ὅτι νῦν τὸ [5]) περὶ τὺς ὀφεωδήκτας ἐναντιώτατον περιστήσεται εἰς τὸ ἐκείνοις παρεμφερέςατον [6]). Σοῦ γὰρ φανέντος εὐθέως πᾶν δυςχερὲς ἐξ ἐμῦ δραπετεύσειεν.

λζ. ΤΩΙ ΖΑΒΑΡΕΙΩΤΗΙ ΚΥΡΙΩΙ ΓΡΗΓΟΡΙΩΙ [7]).

Καὶ κειμένῳ τῷ ἥρωι Ἀλεξάνδρῳ τῷ Σεβαστῷ ζῶσαν ὁ Τζέτζης χάριν ὀφείλω· οὐκ ἔστι γὰρ ὅτε ζῶν ὁ ἀνὴρ ἐντυχών μοι τῷ πενιχρῷ

1) B ὁπόθεν.

2) Cf. Hist. 170.

3) B ἀναγγείλαντος.

4) B θεόθεν περιφρυρεῖσθαί.

5) B om. artic. τὸ.

6) B πανεμφερέστατον.

7) ζαβαρειώτης neque in Lex. vulg. neque in Cangii Gloss. exstat; derivatur a ζαβαρεῖον i. e. θήκη τῶν ζαβῶν; Tzetz. noster Chil. IV, 467. Joannem vocat γραμματικὸν τῦ ζαβαρείυ, quod f. idem significat, quod ζαβαρειώτης.

αὐτοποδίᾳ βαδίζοντι μετὰ λαμπρᾶς αὐτὸς τῆς [1]) προπομπῆς πορευόμενος οὐχ ὑπέκλινέν οἱ τὴν κορυφήν. Καίτοι μηδὲ συνήθει μοι οἷ πεφυκότι μηδὲ τῶν ἄλλως γνωστῶν, ἔνθε [2]) τοι καὶ κειμένῳ ζῶσαν ὀφείλων τὴν χάριν (ὁ γὰρ ἀγνώμων ἐγώ), εὐθύς σε δεξάμενος τὴν γραφὴν τὰς ἰάμβους ἀπεσχεδίασα τὰς δὲ τοῦ ἐπιγράμματος μηδὲ μικρόν τι μελήσας ἢ ὑπερθέμενος, καίπερ μυρίαις ὢν ἄσχολος περιστάσεσιν.

λη. ΤΩΙ ΔΙΑΚΟΝΩΙ ΚΥΡΙΩΙ ΛΕΟΝΤΙ ΤΩΙ ΧΑΡΣΙΑΝΙΤΗΙ [3]).

Ἴσθι [4]) γλυκεῖα ψυχὴ καὶ τῶν φιλούντων μοι καὶ φιλεμένων πάντων ὑπερτιθέμενε ὡς τὸ συμβάν σοι πένθος ἀκηκοὼς πέπονθα μὲν πέπονθα τὴν ψυχὴν καὶ τὴν καρδίαν ἐπλήγην ἐλεεινῶς, ὥςπερ Τυφῶνι τῇ συμφορᾷ βεβλημένος,

Δὴν [5]) δέ με ἀμφασίη ἐπέων λάβε· τὼ δέ μοι ὄσσε
Δακρυόφι πλῆσθεν, θαλερὴ δέ μοι ἔσχετο φωνή [6]).

Καὶ πῶς γὰρ οὐκ ἐχρῆν τοιούτῳ με πάθει γενέσθαι κατόχιμον, εἴπερ φίλος ἐστὶν ἄλλος αὐτός; ἐγὼ γὰρ πρὸς εἰδότα με τοῦτο νεανιεύομαι οἰκτιρμονέστερος ἀσυγκρίτως καὶ Κράσσου τελῶ τοῦ Ῥωμαίου. Ὁ μὲν γὰρ ἰχθὺν μύραιναν ἐθάδα θανοῦσαν καὶ ἔθαψε καὶ ἐκόψατο καὶ Δομετίου [7]) τοῦτον [8]) ἐπιτωθάξαντος ὅτι κλαίοι τὴν θῆρα, ἐγὼ μὲν εἶπεν ἰχθὺν μύραιναν, σὺ δὲ τρεῖς γυναῖκας θάψας οὐκ ἔκλαυσας. Κράσσος μὲν οὖν μύραιναν μίαν ἐθάδα τεθρήνηκεν, ἐγὼ δὲ ἑκὼν ἔμψυχον μὲν ψυχῆς οὐδέποτε ἀπεστέρησα, κἄνπερ τὰ τούτων ἐνίοτε σιτῶμαι κενέβρια, προςεπιτούτοις καὶ πᾶσι τοῖς κτήνεσιν ὀλοφύρομαι καὶ σφαττομένοις καὶ θνήσκουσι. Τί δέ με παθεῖν οὐκ ἐχρῆν τὸν οὕτω περὶ κτήνη φιλάνθρωπον τοιαύτην ἠνωτισμένον τὴν συμφορὰν φίλου μοι πάντων ὑπερκειμένου μεθ' αἷμα καὶ γένος αὐτό; Οὕτω βαρὺ τὸ πάθος, οὕτω κατέσεισε τὴν ἡμετέραν ψυχήν.

Ἀλλὰ τί κεν [9]) ῥέξαιμεν; θεὸς διὰ πάντα τελευτᾷ.

Ἡ γειναμένη σε τῷ χρεὼν ἐλειτούργησε, τὸν θύλακον ἀπεβάλετο [10])

---

1) B om. artic. τῆς.

2) B ἔνθεν.

3) Cf. Hist. 171. usque ad Hist. 181.

4) AB Schol.: Παραμυθητικὴ συντρέχει δὲ πρότερον τῷ πένθει· καὶ οὕτω παρηγορεῖται· πρὸς γὰρ τὰ κεκρατηκότα πάθη οὐ χρὴ ἀντιτείνειν.

5) B σή.

6) Hom. Il. XVII, 695 seq.

7) A καὶ δημοσίου, B δομετίου δέ. Cf. Plut. de sollert. animal. 23, ubi Δομιτίου.

8) Pro τοῦτον coniicio τούτῳ, quum ἐπιτωθάζω cum dativo personae coniungi constet.

9) B καί. Cf. Hom. Il. XIX, 90.

10) B ἀπεβάλλετο.

τὸν πήλινον ἀσκὸν ἀπεδύσατο καὶ τῷ σαθρῷ τῷδε καὶ σειομένῳ δεσμωτηρίῳ τοῦ σώματος ἀπέδρα καὶ ἀπεδήμησεν, ἀλλότριόν τι τῆς ἀνθρωπίνης οὐ πέπονθε φύσεως, ἀλλ' ἐπειθάρχησε τοῖς τῆς ἀνάγκης θεσμοῖς· τὸ συντεθὲν γὰρ φιλεῖ χωρεῖν πρὸς ἀνάλυσιν καὶ χοῦς ὡς ὁμογενῆ πρὸς ἀναστοιχείωσιν ἐπισπᾶται τὸν χοῦν. Θρηνήσας τοιγαροῦν ἐπ' αὐτῇ τὰ εἰκότα ἔνδος τοῦ πένθους μικρόν· αἰψηρὸς γὰρ πέλεται κόρος κρυεροῖο γόοιο [1]). Τί τὸ βάρος τῆς λύπης τρέφεις ἀθάνατον; μὴ μόνος ἢ πρῶτος μητέρα κατώρυξας· μῶν ἀθανάτης ἐκέκτησο φύσεως; ἀλλὰ θνητὴν μὲν ἀώρως δὲ τὸν βίον ἐκδραπετεύσασαν, ἀλλὰ θαλάσσης παραδοθεῖσαν. βυθῷ, ἀλλὰ θηρσὶ βορὰν γεγονυῖαν, ἀλλὰ κρημνοῦ παρανάλωμα. Μῶν βάρβαρον ξίφος αὐτὴν ἐξεθέρισε; μῶν νόσος ἱερὰ φθινὰς κατεδάμασεν οἰκτρὰν μὲν ἰδεῖν, οἰκτρὰν δὲ τῆς [2]) τῶν συγγενῶν ἀπουσίας; ἀλλ' οὐκ ἔχεις οὐδὲν ἐπ' αὐτῇ τοιοῦτον ἐλεεινὸν ἀποδύρασθαι. Θανάτῳ γὰρ εὐδαίμονι καὶ [3]) οἷον ὁ Σόλων ἀγάμενος εἴδεται τὸν βίον κατέστρεψε, σεμνῶς μὲν καὶ θεαρέστως ἀνύσασα τὴν ζωὴν, σεμνότερον δὲ καὶ πρὸς τὰ ἐκεῖσε μετασκιρτήσασα· ὥσπερ γὰρ ἐπὶ λαμπρὰν στελλομένη τὴν προπομπὴν φαιδρῷ καὶ μονονοὺ μειδιῶντι προσώπῳ συνταξαμένη τοῖς φίλοις καὶ τὰς δεούσας εὐχὰς ἀποδοῦσα τὸ πνεῦμα τῷ δόντι παρέθετο. Ἵνα τί γοῦν οὕτως ἀφιλοσόφως ἐπὶ τῷ πάθει θρηνεῖς; μῶν τοῦτο τὴν φιλοσοφωτάτην περὶ πάντα ψυχὴν δεικνύει σε ἀφιλόσοφον, ὅτι μὴ πρὸ θανάτου βαθεῖ λίαν σεσηπυῖα τῷ γήρει προυτέθνηκεν, ἀποκοπεῖσα τῷ χρόνῳ τοὺς [4]) ὀφθαλμοὺς, ἐξορωρυγμένη τῶν φατνωμάτων τὰς μύλας, τῶν ἀκουστικῶν πόρων ὑπὸ βαθείας καὶ κορυζώσης κυψέλης ἐμπεφραγμένη τὰς ἕλικας, παρειμένη τὰς σιαγόνας καὶ [5]) τῆς τῶν μυῶν κεχαλασμένης δυνάμεως ἐρρικνωμένη χεῖρας καὶ πόδας καὶ παραπλήκτως εἴτ' οὖν ἀποπλήκτως ἀκινητίζουσα καὶ ἀναισθηταίνουσα. Μῶν ταῦτά σε πρὸς τὰς ἀμέτρους συνωθεῖ δακρύων λιβάδας καὶ ἀδυσώπητον ἀπεργάζεται; ἢ γοῦν ἀπαρακλήτως δακρύεις, Ὁμήρῳ πειθόμενος λέγοντι·

Τοῦτό νυ καὶ γέρας [6]) [οἷον] ὀϊζυροῖσι βροτοῖσι,
Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.

Ἀλλὰ παλινζωίαν Ὅμηρος οὐκ ἠπίστατο· πάρες οὖν ἐκεῖνον δοξάζειν τὰ δοξαζόμενα τοῖς ἔπεσι λέγοντα·

---

1) Odyss. IV, 103.
2) B om. artic. τῆς.
3) B om. καί.
4) B τὸ καὶ ὀφθ.
5) B ὡς τῆς.
6) B γέρας ἐστίν. Cf. Odyss. IV, 197 seq.

Ἀνδρὸς δὲ ψυχὴ, πάλιν ἐλθεῖν, ἔτε λεϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων [1]).

Αἰσχύλῳ πάρες παραπλησίως Ὁμήρῳ ληρεῖν·

Ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις
Ἅπαξ θανόντος ἐκέτ' ἔστ' ἀνάστασις [2]).

Οἶδας τῶν ἡμετέρων δογμάτων ὀρθῶς τὴν ἀκρίβειαν· παρεῶ σοι τῶν ἔνδον ἐπάγειν τοὺς μάρτυρας, πιθανωτέρας παρὰ πολὺ τὰς τῶν θύραθεν εἰδὼς μαρτυρίας. Πολλὰ τῶν θύραθε παρεικὼς παραδείγματα, ἵνα μὴ τύπες ἐπιστολῶν ὑπερβαίην ἐκ τῶν [3]) Σωκράτες ἕν σοι παρατίθημι παράδειγμα· χώρας ἐκεῖ, φησὶ, τῆς ἐνθάδε μεταλήψομαι κρείττονα. Ἔνθεν τοι καὶ σὺ τὴν θανῦσαν εἰδὼς μηδὲν δακρύων σχοῦσαν ἐπάξιον εὐδαιμόνιζε μᾶλλον ἢ ἀγεννῶς ὀλοφύρε, ὡς θᾶττον ἀποδημήσασαν πρὸς χώραν ὄντως τὴν κρείττονα καὶ ἧς ἀεὶ ἐφιεμένη καθέστηκε. Τοῖς γὰρ κατὰ θεὸν φιλοσόφως τὸ σῶμα δαμάζεσιν ὁ τῇδε μᾶλλον βίος ἐστὶ δεσμωτήριον καὶ δακρύων ἐπάξιος.

λθ. ΤΩΙ ΑΥΤΩΙ ΓΕΓΟΝΟΤΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΔΡΙΣΤΡΑΣ [4]).

Οὐκ οἶδα τί ἄρα φαίην ἢ τί καὶ ὑποτοπάσαιμι περὶ τὴν σὴν μεγάλην ἁγιωσύνην, διακριτικώτατε δέσποτα, ὡς γὰρ ἐδὲ συλλαβιαίαν γραφὴν παρὰ τῆς σῆς μεγαλειότητος ἐδεξάμην. Ἃ τῷ Πηλέως τὸν Μενοιτίου ἡ ποίησις αὐτονομίᾳ ὀνείρων εἰςάγει καταμεμφόμενον ἔφασκον·

Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
Οὐ μέν μεν ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος [5]).

Μὴ γάρ πε 'στόμα σὸν τὸ πηγαῖον ἐκεῖνο, ὁ Ἰλισσὸς ποταμὸς, τὸ δωδεκάκρενον στόμα, ἡ ἀττικὴ καλλιῤῥόη, μικρὰν ῥανίδα περὶ ἡμᾶς ἐκχέαι ἠσθένησε; μήπου γραφεὺς οὐ παρῆν; μήπου γραφὶς ἀπενάρκησε; μὴ τὸ μέλαν τῆς μελανδόχε πυκτίδος ἐκλέλοιπε; μήπε βιβλιαφόροι τινὲς ἐκ ἦσαν ἐνθάδε καταίροντες, Ἰστριεῖς καὶ Παρίστριοι; Τοιαῦτα μὲν πρώην ἠπορημένος τῇ σῇ μεγαλειότητι γράφειν ᾐρούμην. Ὡς δὲ τοὺς σταλέντας μοι ταρίχες ἰχθύας τὲς ἰστριεῖς ἐδεξάμην ἀριθμεμένες εἰς τρεῖς καὶ τὸ λαρινὸν [6]) ὀξῶδες ἐκεῖνο τεμμάχιον, γραφὴν δὲ ἐδαμῶς πάλιν ἑώρων τῆς σῆς

---

1) Hom. Il. IX, 408 seq.
2) Aesch. Eum. vv. 648 et 649, ubi pro ἐκέτ' legitur ἔτις.
3) B ἐκ τῦ.
4) Cf. Hist. 182. usque ad Hist. 187.
5) Hom. Il. XXIII, 69 seq.
6) AB Schol.: Λαρινὸν τὸ μέγα ἀπὸ Λαρινοῦ τινὸς εὐμεγέθες· εἰσὶ δὲ καὶ Λαρινοὶ βόες μεγάλοι ἀπὸ τόπε τινός.

μεγαλειότητος, ἀπορίαν ταῖς ἀπορίαις ἑτέραν ἐπεκεράννυον καὶ λογισμὲς λογισμοῖς προςπαλαίοντας ἔτρεφον καὶ ταδὶ κατ' ἐμαυτὸν ἠδολέσχεν. Μῶν ἀξυνήμονά τε καὶ βάρβαρον τὰ πρὸς λόγες ὑποτοπάσας με ἐδὲ συλλαβιαίας γραφῆς κατηξίωσε; μῶν ὡς ὀψοφάγον καὶ γάστριν εἶναί με οἰηθεὶς ἰχθύσιν οὐ λόγοις ἐδεξιώσατο; μῶν ὡς ὁ Πυθαγόρας πρακτικωτέρως ἐλέγχων με ἄφωνον ἀφώνοις ἐπιστολαῖς με τετίμηκεν; Ἢ τῦτο μὲν ἐδαμῶς· πρὸς δὲ τὸ πενιχρὸν ἐμῦ ἀπιδὼν ὡς ἀνδραποδώδη καὶ ἀνελεύθερον ἀνελευθέροις δώροις οἴεται χαίρειν με; Ἄπαγε, πολύ με τῦ τρόπυ διήμαρτες καὶ τῆς ἐλευθεριότητος ἐπιλέλησαι, δι' ἣν ἀρχικάς τε [1]) διατριβὰς παρωσάμενος καὶ βασιλέων λατρείας, καὶ ἀρκεῖ μοι μικρὰ προςειπὼν καὶ πλειόνων ἀνελευθέρως οὐ κέχρημαι, ἡρετισάμην βίον τὸν πενιχρὸν καὶ ἐγγώνιον. Τοιέτοις τισὶν ἀλλοπροςάλλοις ἀπεμαχόμην τοῖς λογισμοῖς· ὅμως μόλις ποτὲ τῷ τρισσῷ τῶν ἰχθύων τὸν μέγαν ἀρχιερέα τῷ ὄντι καὶ λατρευτὴν τῆς τριάδος ἐπέγνων, ὡς καὶ τὺς ἀφώνυς ἰχθύας μεταβιβάζειν πρὸς τὸ λαλίστατον καὶ ταῦτα βαρβάρους καὶ πρὸ πολλοῦ τεθνηκότας καὶ τῇ ταριχεύσει ἀποβαλόντας τὸ ζωτικόν τε καὶ ἔνικμον· μονονὲ γὰρ ὥςπερ τις γραφὴ διαπρύσιος καὶ ὡς κῆρύξ τις μεγαλόφωνος ἀνεβόων μοι, ὡς ὑγιῶς ἔχεις μοι ἡ ἱερὰ κεφαλὴ καὶ δεξιοῖς με τοῖςδε τοῖς δωρήμασιν. Εἴθε δὲ καὶ ὁ ἡμέτερος θεῖος ὑγιεινῶς ἔχοι καὶ πάντες ὅσοι τελοῦσιν ὑπὸ τὴν σὴν ἁγιότητα. Τὸ παρὸν γράμμα τὴν σὴν προςκυνεῖ μεγάλην ἁγιωσύνην ὡς ἀπ' ἐμῦ καὶ πάσης ἐμῆς ἀδελφότητος καὶ πᾶσι προςαγορεύει τοῖς ὑπὸ σὲ καὶ σὺν σοί. Τηροίη δέ σε θεὸς μακροχρόνιον, ὑγιᾶ τε καὶ ἄνοσον, τὸν ἱερὸν ἀρίστως διέποντα θρόνον καὶ ναυκληρῦντά σε.

μ. ΤΩΙ ΑΝΕΨΙΩΙ ΤΟΥ ΠΡΩΤΟΒΕΣΤΙΑΡΙΟΥ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ [2]).

Ὁ μὲν φεραυγὴς ἀστρῷος ἥλιος, ὦ θεοτίμητε δέσποτα, περὶ τὸν νότιον πόλον μεταναστεύων καὶ τὸν αἰγόκερων ἀμβλύνει μὲν τῶν ἑαυτῦ σελαγισμῶν [3]) πᾶν τὸ περὶ ἡμᾶς τῦτο περίγειον, περιψύχει δὲ τὸν ἀέρα τῇ ἀποστάσει καὶ περιπήγνυσι· σῦ δὲ πρὸς τὰ εὐρωπαῖα μέρη τὰ νότια τῦ ἐμψύχυ μοι φωσφόρυ μεταναστεύσαντος, οἷος ἐμοὶ ὁ κρυμός [4]), οἷα δὲ ἀβλεψία τὰς σὰς ἀκτῖνας μὴ καθορῶντι, ἀλλ' εἴης ὁ ἐμὸς φωσφόρος ἐῤῥωμένως δεικνὺς τὰς αὐγὰς καὶ μηδενὶ μηδαμῶς νέφει τῶν ἀνιαρῶν

---

1) B om. τε.

2) Cf. Hist. 188.

3) AB Schol.: Σελαγησμῶν· Σελαγισμὸς Ἀττικῶς ι.

4) AB κρυμμός. Scripsi κρυμός, algor, frigus. Hesychius habet κρυμνός, unde f. derivata lectio nostrorum librorum ms. κρυμμός.

συγκρυπτόμενος· τάχα δέ ποτε καὶ πρὸς ἡμᾶς φεραυγέστατα τὰς ἀμαρυγὰς ἐπιπέμψειας. Ἄρτι δέ σε καὶ πόῤῥωθεν ἡμῶν τὸν δρόμον ἐλαύνοντος, παῤῥησίᾳ φερόμενος ἣν αὐτὸς ἐχαρίσω μοι ἀβαροῦς τινος καὶ δικαίας δεήσεως δέομαι, ὡς ἂν τῇ σῇ ἀντιλήψει τὸν γραμματικὸν Παπᾶν Μιχαὴλ περιέποις τε καὶ αὐξάνοις [1]) παντοίαν στοργὴν εἰς αὐτὸν δι' ἡμᾶς ἐνδεικνύμενος. Περὶ τέτων γὰρ καὶ τὴν παρῶσαν γραφὴν ἐνεστησάμην, σὲ μὲν προςκυνῶσαν, αὐτὸν δὲ συνιστῶσαν τῇ αὐθεντίᾳ σε.

μα. ΤΩΙ ΠΑΤΡΙΑΡΧΙΚΩΙ ΥΠΟΜΙΜΝΗΣΚΟΝΤΙ [2]).

Μεγίστην ἐμῶ καταγινώσκω τὴν ἀβελτηρίαν, ὦ δέσποτα· ἐξὸν γάρ μοι θορύβων χωρὶς καὶ ἀπονητὶ πεπᾶσθαι τἀμὰ ἱκετηρίας ἐπιδεδέημαι, ὡς ἂν κἂν μόλις καὶ δυςχερῶς ἀποληψαίμην αὐτά. Ἡμάρτανον δὲ ἄρα ὡς ἔοικε τῷ ἱερῷ τρίβωνι καὶ τῇ περιτιάρᾳ προσχὼν καὶ προτιθεὶς ταῦτα περιβολαίων τῶν ὀχλωδῶν καὶ κοινῶν καὶ τὰς περικειμένας αὐτὰ τῶ παρ' ἑτέρων ἐκχεομένε χρυσῶ ὑπὲρ μεταγραφῆς καὶ μόνης αὐτῶν. Ὅμως τῷ πάθει μάθος τιθεὶς ἐφρένωσα ἐμαυτὸν καὶ τὸ τῶ τραγικῶ ἔγνων ῥητὸν ἀτρεκέστατον, ὡς τοῖς πολλοῖσι βροτῶν ἄπιστος ἔσθ' ἑταιρείας λιμὴν [3]). Ἔῤῥωσο καὶ ἀποδός μοι τἀμὰ καὶ μὴ ἀποδός.

μβ. ΤΩΙ ΒΑΣΙΛΙΚΟΝ ΛΟΓΟΝ ΒΑΣΙΛΙΚΟΝ ΕΠΙΤΑΦΙΟΝ ΤΙΝΟΣ ΤΩΝ ΤΖΕΤΖΟΥ ΦΙΛΩΝ ΑΠΟΣΥΛΗΣΑΝΤΙ ΚΑΙ ΩΣ ΟΙΚΕΙΟΝ ΜΕΤΑΠΟΙΗΣΑΝΤΙ, ΤΕΛΟΣ ΚΑΙ ΤΑΣ ΕΞΗΓΗΣΕΙΣ ΣΦΕΤΕΡΙΖΟΜΕΝΩΙ ΤΟΥ ΤΖΕΤΖΟΥ ΜΑΛΛΟΝ ΔΕ ΤΗΝ ΛΥΚΟΦΡΟΝΟΣ ΚΑΙ ΜΕΤ' ΑΥΤΗΣ ΕΡΜΗΝΕΥΟΝΤΙ ΚΑΙ ΤΩΙ ΜΕΣΑΡΙΤΗΙ ΧΟΛΑΙΝΑΝΤΙ ΑΝΘ' ΩΝ ΤΟΥΤΟΝ ΕΞΗΛΕΓΞΕΝ ΕΙΠΩΝ· ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΣΤΙΝ Η ΕΞΗΓΗΣΙΣ ΚΑΙ Η ΔΥΝΑΜΙΣ ΩΝ ΕΡΜΗΝΕΥΕΙ ΡΗΤΩΝ [4]).

Ἐγὼ μὲν κἀκ τῶν προτέρων κατέμαθόν σου τὴν τόλμαν καὶ τὴν ἀναίδειαν ἄνθρωπε, ὁπότε τε τῶν ἐμῶν ἐπιτηδείων καὶ φίλων τὸν βασιλικὸν ἐσύλησας ἐπιτάφιον καὶ τὴν χρυσῆν ψηφῖδα τῶ ἀνδρίαντος ἐκείνε παρεσπακὼς [5]) ἀλληνάλλως μετέθε καὶ μετεμόρφωσας, ἣν ὁ ἐμὸς φίλος Πολύκλειτος ἢ Φειδίας ἢ Ἀλκαμένης ἢ Μύρων ἢ Πραξιτέλης [6]) ἢ Ζεῦξις ἢ Ἀπελλῆς ἢ Παῤῥάσιος ἢ Στασικράτης ἢ Λύσιππος ἢ ὡς ἂν τις ἐθέλοι

1) B περιέπῃς τε καὶ αὐξάνῃς.

2) Cf. Hist. 189 et 190.

3) Alludit ad Eurip. Orest. 721. Phoeniss. 403. In priori loco amicus dicitur καταφυγὴ σωτηρίας. Uterque locus laudatur in Chiliad. VIII, H. 190.

4) Cf. Hist. 191. usque ad Hist. 228.

5) B παρεσπαρκώς.

6) A προξιτέλης.

τὸν ἄνδρα καλοῦκο πρὸς εὐρυθμίαν ἐξήσκησεν. Ὡς δὲ καὶ τὰς σὰς βατραχίδας φυσιγναθέσας ἐμάνθανον ἐν τελματώδει καὶ θολερῷ μεμεθυσμένας τῷ ὕδατι καὶ διατεινομένας τορώτερον ὡς ὑπὸ σȣ̃ προπεποιημένος εἴη ἐκείνῳ κἀκεῖνος ὁ ἐπιτάφιος, μάρτυρα τȣ̃ λόγȣ προβάλλομαι τὴν ἀλήθειαν, ὡς αἰδέμενος ὑπὲρ σȣ̃ ἠρυθρίων ὅτι τοιαῦτα καὶ δρᾶν καὶ λέγειν ἐτόλμας, καὶ τὴν γῆν ἐπηυχόμην χανεῖν μοι, ὡς εἴπερ αὐτὸς ἐγὼ εἴην καὶ ȣ̓χὶ σὺ ὁ τὸ σῦλον τȣ̃το διαπραξάμενος. Πλὴν οὐ τοσȣ̃το βαρέως ἔφερον τότε· παιδιὰν καὶ χαριέσσαν καὶ κλοπὴν αὐτολύκειον φόμην εἶναι τὸ πρᾶγμα. Ὡς δὲ καὶ περὶ τὸν ἐπίλογον γεγονὼς ἠκροώμην τῆς σῆς ἐπικρίσεως ἐπικρινέσης τὸν λόγον ὅτι καλὸς ȣ̓κ εἶχον ὅπως ἐπισχήσω τὸν γέλωτα. Κατὰ γὰρ τὸν κωμῳδὸν ἐμαυτὸν δάκνων ὅμως ἐγέλων [1]). Οὕτω μὲν καὶ πρότερον ὑπὲρ σȣ̃ ᾐδέμην, εὖ ἴσθι, καὶ ἠρυθρίων, πλὴν μεθ' ὑποστολῆς καὶ λαθραίως καὶ ȣ̓κ ἀναίδην ὡς νῦν τυραννικῷ τῷ τρόπῳ σφετεριζομένȣ σȣ τὰ ἀλλότρια· ὡς δέ γε νῦν καὶ πρὸς τὰς ἐμὰς ἐξηγήσεις ἀγωρήσας καὶ τυραννικώτερον αὐτοπρέμνȣς αὐτὰς κατασύρας ἐτόλμησας σφετερίζεσθαι, μᾶλλον δὲ τὴν εἰς τὸν Χαλκιδέα Λυκόφρονα καὶ τῷ Μεσαρίτῃ βαρέως ἐπέθȣ τε καὶ ὀργίλως κατὰ τὴν τῆς Ἀθηνᾶς ὄρνιν τὴν γλαῦκά σε τὸν κολοιὸν ἐξελέγξαντα καὶ τὸν κηφῆνα τρυγῶντα μέλι ἀλλότριον, ȣ̓δὲν δὲ ἄλλο νὴ τὴν ἀλήθειαν ἐπεπόνθειν ȣ̓δὲ ἐδυσχέρανα, πλὴν ἢ καθάπερ καὶ πρότερον ὑπ' αἰδοῦς πλέον τοῦ συνήθους ἠρυθρίασα καὶ ὑπεπυῤῥίασα [2]). Ἱκέτης ȣ̓̃ν [3]) γίνομαι καὶ τῆς σῆς ἀγχινοίας ἱκνȣ̃μαι, σύγγνωθι τῷ μειρακίῳ καὶ μὴ χαλέπαινε διαῤῥήδην τὸ μέλι πόνον μελίττης κηρύττοντι. Κἂν γὰρ αὐτὸς σιωπήσῃ, ὅμως καὶ λίθοι τȣ̃το βοήσȣσιν, ὡς Τζέτζȣ τυγχάνει τὸ πόνημα. Τὰ γὰρ ἡμέτερα κἂν θαλαμίτην καὶ οἰκȣρὸν τὸν βίον εἱλόμεθα καὶ οὐ φανητιᾶν καὶ ἁβρύνεσθαι, πρὸς μὲν ἀνίσχοντα ἥλιον ἐπέγνωκεν ἡ Ἰνδῶν καὶ Διονύσȣ αἱ στῆλαι καὶ ὁ ἠῷος ὠκεανὸς καὶ Ταπροβάνη καὶ ἡ χρυσῆ, πρὸς δέ γε τὰς τȣ̃τȣ δυσμὰς καὶ τὴν ζεφυρῖτιν πλευρὰν Γάδειρά τε καὶ Βαῖτις [4]) αὐτῶν ποταμὸς καὶ τὰ πέραν Γαδείρων νῆσοί τε Ἑσπερίδες καὶ Βρετταναί, πρὸς τὰς πνοὰς δὲ τȣ̃ νότȣ καὶ τὴν μεσημβρίαν ἀπόκλισιν Αἰθιοπίας ὅσον οἰκȣ́μενόν τε καὶ ἄοικον [5]), περὶ δὲ τὸ ἀρκτῷον καὶ βόρειον Ἀγάθυρσοί τε καὶ Γελωνοί, Μαιῶται, Σκῦθαι καὶ οἱ Καυκάσιοι καὶ ὅσην ὁ πολυχεύμων ὠκεανὸς ὑγραῖς ἀγκάλαις γῆν τε

1) Cf. Aristoph. Ran. 43 sq.
2) B ὑπερπυῤῥίασα.
3) B γȣ̃ν γίνομαι.
4) B βαῦτις.
5) B ἀοίκητον.

καὶ θάλασσαν περιείληφεν· ἔτω καθέστηκε πασίγνωστα τὰ ἡμέτερα, κἂν ἐπηλυγάζωμεν ἑαυτοὺς ὡς ὁ Θετταλὸς στρατιώτης ἐκεῖνος τῷ Αυκομήδες θαλάμῳ. Παύου καὶ σὺ τοιγαροῦν ταῦτα εἰδὼς καὶ τῷ μειρακίῳ μὴ ἀποσκύδμαινε, μελίσσης ἔργον φαμένῳ καὶ οὐ κηφήνων εἶναι τὸ μέλι, μηδὲ περὶ [1]) τὴν μέλισσην ἀχαριστότερος γίνε κηφήνων· ἀλλά γε τρύγα μὲν τοῦ μέλιτος ὅσον ἐθέλεις καὶ ἀπαρύου τῶν σίμβλων, τῇ δὲ μελίσσῃ τὸν πόνον ἐπίγραφε, μήπως καθά φησι Πίνδαρος κατὰ Σιμωνίδη τὴν μοῦσαν ἀργυρείαν [2]) ποιήσαιμεν καὶ δυσπόριστος γένοιτο καὶ ἐκέτι προκύψῃ τοῖς πένησιν. Ἔρρωσο.

μγ. *ΤΟΙΣ ΔΤΣΙ ΤΗΣ ΣΕΒΑΣΤΟΚΡΑΤΟΡΙΣΣΗΣ ΓΡΑΜΜΑΤΙΚΟΙΣ* [3]).

Ὦ χρυσὲ δεξίαμα κάλλιστον καὶ προςφώνημα καὶ σὺ δὲ σὺν αὐτῷ σεβαστοφόρε γραμματικὲ τῷ ἀσπιδοπώλῳ πλέον ἢ τῷ δεῖνι τοῖς σώμασι συνδιάγοντες τοῖς τρόποις ἀφίστασθε· οὐδὲ γὰρ κατὰ τὸν κυρηναῖον Καλλίμαχον

> *Ἑσπέριον φιλέῃσιν ἀτὰρ στυγέῃσιν ἑῷον* [4]),

ἀλλὰ κατὰ τὴν κύνα τὴν αἰσωπείαν ἐκείνην τὴν τὸν λαγωὸν τῷ δοκεῖν φιλεῖν δάκνεσάν δάκνετε [5]).

μδ. *ΤΩΙ ΔΑΩΠΩΙ ΚΤΡΙΩΙ ΓΕΩΡΓΙΩΙ* [6]).

Οἱ τῷ ὄντι μὲν ἀφανέστατοι τῇ σῇ δὲ ἀφάτῳ περὶ ἡμᾶς φιλικῇ διαθέσει τοῖς μεγαλεπιφανεςάτοις παρεγγραφόμενοι ὑγιαίνομεν ὡς ἡ ἄνωθεν βούλεται πρόνοια καὶ ἡ σὴ περὶ ἡμᾶς καλλίστη φιλία, τριφίλητε ἀδελφὲ καὶ τιμιώτατε δέσποτα, μέχρι τῆς σήμερον, ἑπτακαιδεκάτης ἡμέρας τελέσης Μαίου μηνὸς περὶ βουλυτὸν δὲ τρεχούσης, καθ' ἣν ὥραν καὶ τὸ σὸν γραμματεῖον ἐδεξάμεθα καὶ τὰς θεοφρουρήτους ὑγείας σου ἀνεμάθομεν. Εἴης δέ μοι καὶ μέχρι γήρως ἐσχάτου ὑγιεινότατόν τε καὶ ἄλυπον τὸν βίον ἀντλῶν· γένοιτο δὲ καὶ πρὸ τῆς ἐμῆς ἐκδημίας πρὸς τὴν Μεγαλόπολιν ἀναζεῦξαί σε καὶ ἀλλήλων ἐπαπολαῦσαι φιλίαν ἄδολον καὶ ἀκραιφνῆ.

---

1) In Chil. vulgo legitur *παρά*.

2) B *ἀργυρέαν*. Caeterum inscriptionem, quam in Chil. hist. VIII, 228. legis, nequaquam corruptam esse ex verbis nostrae epistolae apparet.

3) Cf. Hist. 229 et 230.

4) Callimachi fragm. XXVI. p. 347. In Chiliadibus legitur *φιλέεσιν* et *στυγέεσιν*. Hist. 230. titulum prae se fert: *περὶ τῆς αἰσωπείας κυνὸς τῆς τὸν λαγὼν δακνέσης τῷ δῆθεν φιλεῖν*.

5) AB *δάκνει*.

6) Cf. Hist. 231.

με. ΤΩΙ ΠΡΩΤΟΨΑΛΤΩΙ ΟΣΤΕΩΝ [1]).

Αὐθέντα μυ πρωτοψάλτε, εἰ τὸν ἁγιώτατον πατριάρχην τῷ ὄντι φιλεῖς καὶ τούτου θερμοτέρως ὑπερμαχεῖς, ὡς καὶ τὰ πράγματα ἔδειξαν ἱκανὴν παρασχόμενα τεκμηρίωσιν τῆς πρὸς αὐτὸν διαθέσεως, τὴν παρῦσαν ἱκετηρίαν τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ χειροδότησον καὶ ὑπαναγνωσθῆναι αὐτὴν αὐτῷ παραβίασον παρά τινος τῶν γραμματικῶν τῶν μὴ τῷ μέρει τῦ πατριάρχυ ἀντιθετύντων.

μϛ. ΤΩΙ ΚΡΑΤΑΙΩΙ ΒΑΣΙΛΕΙ ΑΥΤΟΚΡΑΤΟΡΙ ΤΩΙ ΚΟΜΝΗΝΩΙ ΚΥΡΙΩΙ ΜΑΝΟΥΗΛ ΤΩΙ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΩΙ [2]).

Δέσποτά μου ἅγιε τὸ θεῖον κράτος τῆς βασιλείας σε πατριάρχην προχειριζόμενον ἐκ αὐτονομίᾳ βασιλικῇ ὃν ᾑρετίσατο αὐτοβύλως ἐχειροτόνησε, καίτοι γε καὶ τῦτο πάντως ἐξῆν εἴπερ ἐβύλετο, ἀλλ' ἐκοινώσατο τῇ συγκλήτῳ καὶ τῇ συνόδῳ τὸ βύλημα καὶ τῇ προκεκριμένῃ [3]) γνώμῃ πάντων κοινῇ μετὰ τοιαύτης ἀκριβῦς ἐπικρίσεως τὴν ἱερὰν ταύτην ἀρχὴν ἐνεχείρισεν. Ἄρτι δὲ κακοήθεις τινὲς καὶ στασιωδέϛεροι καὶ ταῖς μεταπτώσεσι τῶν ἀρχῶν ἐπιχαίροντες καὶ δημοεξαπτεῖν [4]) εἰωθότες, ὁ μὲν ὅτι τύτῳ μοναστηρίῳ οὐ κεχάρισται, ἕτερος δὲ ἀρχοντικίυ ἕνεκα δυϛροπῶν, ὁ δὲ δυϛμεναίνων ὅτι ἕτερόν τι τῶν τῆς ἐκκλησίας παρασπασθὲν τούτῳ ἐκ ἐδωρήθη, ἕτεροι δὲ ὅτι ἡ τῦ χαρτοφύλακος τύτοις ἐγένετο συνεδρίασις βασκανία καὶ σχίσμα καὶ φθόνυ ἀρχή. Ἄλλος τις πάλιν παραπλὴξ καὶ μαινόμενος ἄνθρωπος μοναχὸς εἴτε τῦ ἱερῦ καταλόγυ πατριαρχικὴν ἀρχὴν ὀνειροπολῶν καὶ ἄλλος ἄλλο τι, ἐκ οἶδ' ὅπως καὶ παρὰ τίνων παρεισαχθέντες τὰς βασιλικὰς ὑπεψιθύρισαν ἀκοάς, τῷ μὲν δοκεῖν ὦ γῆ καὶ ἥλιε καί σε τῦ βασιλέως καρδία ὑπὲρ εὐσεβείας μετάστασιν τοιύτυ πατριάρχυ αἰτοῦντες, τὸ δ' ἀληθὲς τούτων ἕνεκα τῶν ῥηθέντων μοι δυϛκολαίνουσι. Καὶ ἄλλο τι μεῖζον οἱ στασιώδεις τυρεύοντες τοῖς μικροτέροις τέως αὐτὺς παιδοτριβῦσι καὶ ἐγγυμνάζυσιν, ὡς μὴ τοῖς κρίμασιν ἀρεσκόμενοι τῆς σῆς βασιλείας τοῖς γενομένοις μετὰ καὶ τῆς αὐτῶν ἐπικρίσεως· ἐθέλυσι γὰρ καὶ βασιλέων εἶναι βασιλικώτεροι καὶ περιάγειν αὐτὺς ὅπῃ καὶ ὅπως καὶ ὅταν ἐθέλωσιν. Ὅπερ εἰ κατὰ νῦν αὐτοῖς ἀποβαίη, καὶ ἐς μεῖζον τύτοις χωρήσει τὰ πράγματα, τὸ δὲ δὴ πάντων τὸ [5]) ἀτοπώτατον καὶ ἀκρίτως

---

1) B legere videtur ὀστέῳ.

2) Cf. Hist. 232. usque ad Hist. 241. Pro βασιλεῖ in B legitur καὶ ἁγίῳ ἡμῶν.

3) A τῷ προκεκριμένῳ.

4) Δημοεξαπτεῖν est ἅπαξ λεγόμ. caeterum ὁ δημοεξάπτης (populi accensor, seditionarius) in Tzetzae Chiliad. X, 430. legitur.

5) B om. τό.

αἰτᾶσιν ἐξέλαυσιν τοιέτε ἀνδρὸς οἱ καθαιρέσεως ἄξιοι κατ' ἀμφοῖν καὶ νενικηκότες, ὅπερ μὴ δοίη Θεὸς, καὶ ἥττης γευσάμενοι καὶ φυγοδικᾶντες καὶ τὴν δίκην ὑπερτιθέμενοι, καὶ ταῦτα γὰρ ἥττης τεκμήρια. Λέγουσι γὰρ ὡς εἰς κατηγόρε τόπον στῆναι οὐ δύνανται, διαβολεῖς ἐντεῦθεν ὁμολογοῦντες ἄντικρυς εἶναι καὶ σφάκται λαθραῖοι. Τοιαῦτα σκαιωροῦσιν ἔτοι κατὰ τᾶ θειοτάτε ἀνδρὸς, ᾧ μόνον ἐστὶ κακὸν μέγιστον ἓν ἡ ἀνυπέρβλητος ἀγαθότης καὶ τὸ μὴ δραστηρίως κατέχειν τὴν πατριαρχικὴν βακτηρίαν καὶ ἐπισφίγγειν τὴν ζώνην αὐτᾶ τῷ μηδὲ κἂν τοῖς κακοῖς εἶναι κακόν. Εἰς μαρτυρίαν δὲ τῆς τέτων πεπλασμένης διαβολῆς τοῖς ἄρχεσιν ἐπιφέρεσι διεφθαρμένον τὸν βίον μεσικοπαικτᾶντά τινα θυμελικὰ παπαδύλλια [1]) καὶ ταῦτα τέτοις συνεδριάζεσιν, ἐξαπατῶντες αὐτὲς λογοποιίαις ἐπαίνων συμπλαττομένων εἰς τὰ καθάρματα. Λέγεσι δὲ καὶ τᾶτο, ὡς οἱ Κομνηνοὶ δυςμετάτρεπτοι ἀνατρέψαι ὅπερ ποιήσεσι φθάσαντες· λανθάνεσι δὲ ἑαυτὲς οἱ ταλαίπωροι, ἐκ εἰδότες τὲς Κομνηνές. Οἱ γὰρ Κομνηνοὶ πρὸς μὲν τὸ καλὸν ἀνατρέπειν εἰσὶ δυςμετάτρεπτοι, πρὸς δὲ τὸ διορθᾶν ὅπερ γνῶσιν ἐπταισμένον καὶ πλημμελὲς εὐμετάτρεπτοι. Δέομαι ἐν τᾶ φιλανθρώπε σε κράτες, μὴ κατὰ νᾶν ἐάσειας τὸ πρᾶγμα τοῖς καχέκταις χωρῆσαι, αὐτοπροςώπῳ δὲ κρίσει κατασυστάδην δεῖξον αὐτοῖς, ὁποίαν οἱ Κομνηνοὶ τὴν κρίσιν βραβεύετε, καὶ ὡς ἄριστος τῷ ὄντι τελῶν βασιλεὺς γενοῦ καὶ ἰατρὸς ἄριστος· καὶ μισῶν τὰ ἰοβόλα θηρία ταῦτα καὶ δάκετα ἀπόκοψον τὰς σπείρας αὐτῶν δικαίᾳ δίκης μαχαίρᾳ, καὶ θηριακὸν ἐνσκεύασον φάρμακον πάγκοινον θηριοδήκτοις λυσιτελὲς, τοῖς δ' ἰοβόλοις ἀπαίσιον καὶ ἁπλῶς εἰπεῖν κοινὴν ἀντιπάθειαν. Τοιετοτρόπως δὲ δρᾶν καὶ πᾶσι τοῖς ἄρχεσι δίδασκε· εἰ γὰρ χολῶσιν ἀνθρώποις καὶ παραπαίεσι καὶ προςαγγέλλειν τὲς ἑαυτῶν ἄρχοντας δι' ἔχθραν ἐθέλουσι, βασιλικαὶ ἀκοαὶ ὑπανοίγοιντο [2]), θᾶττον ἂν αἱ κεφαλαὶ πόδες, οἱ δὲ πόδες γενήσονται κεφαλαί. Ὡς δοῦλος ἀνάξιον τολμήσας ἐδεήθη ζήλῳ δικαίας ἀμύνης· ἐδὲ γὰρ ἀπὸ θέας κἂν [3]) μόνης ψιλῆς τὸν ἄνδρα τεθέαμαι, οἰκεργὸς γὰρ ἐγὼ καὶ ἐγγώνιος.

μζ. ΤΩΙ ΛΟΓΑΡΙΑΣΤΗΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΣΜΕΝΙΩΤΗΙ [4]).

Ἅγιέ με αὐθέντα πολλὰς πολλάκις κατέθε τὰς εὐεργεσίας καὶ χάριτας πρὸς ἡμᾶς καὶ νῦν δὲ πάλιν εἴπερ ποτὲ προςεπίθες ταῖς εὐεργεσίαις

1) Sic AB. An legendum παπαδέλια? Cf. Cangium, qui Pselli in quendam cauponem inania philosophantem locum ex Codd. Regg. Mss. laudat: παπαδέλιον δὲ ἦν τὸ τὸ σχεδιάζον προτραπὲς παρ' ἐμᾶ κτλ.

2) B ὑπανοίγοντο.

3) A καὶ.

4) Cf. Hist. 242. 243. 244. 245.

εὐεργεσίας καὶ ταῖς χάρισι χάριτας. Τίς δὲ ἡ τῆς γραφῆς μου δέησις ἄκεσον. Ὁ Σεβαστὸς ὁ Βατάτζης ὁποίε θέματος δελείαν ἐνήργησεν ἐκ ἐπίσταμαι· τοσῦτο γάρ ἔμοιγε δημοσίων πραγμάτων καθέστηκε μέλησις, ὁπόσον [1]) κολιοῖς βασιλείας ἢ ἀετοῖς τῶν νόμων τῦ Πλάτωνος καὶ ταῖς ἀηδόσιν Ἀριστοτέλες συλλογισμῶν, εἰ βέλει δὲ προςεπίθες καὶ τῶν Χρυσίππου. Τῦτε γῦν τὴν δασμοφορίαν τοῦ θέματος ὁποῖον ἄρα καὶ εἴη ἀνατεθῆναι τῇ σῇ αὐθεντίᾳ νῦν αἱ φῆμαι διεκηρύκευσαν. Ἱκέτης οὖν γίνομαι διὰ τῆς παρέσης γραφῆς, ὡς εἴπερ ἡ σὴ αὐθεντία τῷ προῤῥηθέντι Σεβαστῷ συναντήσειε τὸ τῦ πατρῶν ἰατρῦ μὴ ἐπηρεασθῆναι παιδάριον ἡμέτερον ὂν συγγενὲς, τῷ ῥηθέντι δὲ συνεξελθὸν Σεβαστῷ. Οἶδε δὲ ἡ σὴ αὐθεντία καὶ τὸ παιδάριον ἀκριβῶς τὸ μωρόσοφον ἐκεῖνο καὶ δοκησίσοφον, ὃ τὲς ἰάμβες ποτὲ τῷ τέλει τῶν πρακτικῶν ἐνεχάραξε καὶ τέτε ἕνεκεν ἡ σὴ αὐθεντία ἐκ ἐπέγραφε ταῦτα, ἀλλ' ἐκινδύνευον ἀπρακτῆσαι τὰ πρακτικὰ, εἰ μὴ καὶ τότε σε ἐδεήθημεν περὶ τέτε, καὶ πάλιν ἡ γραφὴ ποιεῖται τὴν δέησιν.

μη. ΤΩΙ ΑΡΧΙΗΤΡΩΙ ΚΥΡΙΩΙ ΜΙΧΑΗΛ [2]).

Γράφεσιν οἱ λόγοι τὸν Ἀρταξέρξη [3]) μακρόχειρα, ἐγὼ δὲ εἴ τις ἦν Ἀρταξέρξης ἐκεῖνος οὐ σύνοιδα, ὦ τιμία μοι καὶ συγγενὴς κεφαλή. Ἐκεῖνον ἒν οἱ Πέρσαι καὶ περσικαὶ γραφαὶ γινωσκέτωσαν· ἐγὼ δέ σε μακρόχειρα καὶ πλέον ἐκείνε συνίημι τὸν ἐμὸν συγγενῆ, τὸν ἐμὸν ἀδελφόν. Αἱ χεῖρες γάρ σου τοσοῦτο μῆκος ὑπερεξήπλωντο, ὡς ἐκ [4]) τῆς Αἰλίας Ἀδριανῦ πόλεως πρὸς τὴν βασιλίδα τῶν πόλεων ἐκταθεῖσαι ἡμῖν ὀρέξαι τὲς περδίκας. Τὴν σὴν ἒν ἀγάπην κατασπαζόμεθα καὶ τῆς γνώμης καὶ τῆς χειρὸς ἕνεκα, πῶς ἂν εἴποις, εὐχαριστῦμέν σοι. Πλὴν ἀλλ' εὖ τῦτο ἐπίστασο, ὡς ἐσμὲν ἡμεῖς οὐ βοροὶ οὐδὲ βρωμάτων χαίρομεν δεξιώσεσιν, ἐπιποθοῦμεν δὲ ὑπὲρ χρυσὸν καὶ τοπάζιον γραφὰς προςηγόρους τῆς σῆς ἀγάπης καὶ αὐθεντίας κομίζεσθαι. Τὸ λοιπὸν ἒν ἄλλοις μὲν βρώματα στέλλων ἀπόστελλε, ἡμῖν δὲ ἀντὶ βρωμάτων προςαγορεύσας γραφάς σου. Προςκυνεῖ τὸ παρὸν γράμμα τὴν σὴν ἀγάπην καὶ αὐθεντίαν ὡς ἀπ' ἐμῦ καὶ πάσης ἐμῆς ἀδελφότητος, προςαγορεύει καὶ πᾶσι τοῖς ὑπὸ σὲ καὶ σὺν σοί. Ὁ τῆς εἰρήνης Θεὸς ὑγιᾶ σε διατηροίη καὶ μακροχρόνιον.

μθ. ΤΩΙ ΜΟΝΑΧΩΙ ΚΥΡΙΩΙ ΘΕΟΣΤΗΡΙΚΤΩΙ.

Πάτερ ἅγιε, ἰδὲ ὡς νομίζω ἔγνως ἀκριβῶς τὸν μέγαν χαρτελάριον

---

1) B ὁπόσον καὶ κ.
2) Cf. Hist. 246. 247. 248.
3) B ἀρταξέρξην.
4) B ὡς καὶ τῆς.

τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, οἷα τὰ ὁμόλογα ποιεῖται ἀληθέστατα πρὸς σὲ καὶ τὸν ἅγιόν μου δεσπότην. Ὁ διατεινόμενος γὰρ καὶ λέγων εἰ εὑρεθῇ ἔχων τὸ σκλαβόπωλον [1]) ἄξιός ἐστι παθεῖν τὸ ἐξελέγχθη καὶ ὡμολόγησε τῷ μοναχῷ Θεοφίλῳ ἔχειν αὐτὸ ὑπὸ τῶν ἀληθῶν τεκμηρίων καὶ ἐλέγχων βιαζόμενος ἄκων εἰπεῖν τὴν ἀλήθειαν. Στείλατε ȣ̓ν μοι διὰ τῆς ὑμῶν ἀντιλήψεως τὸ παιδόπȣλον, ἵνα μὴ πάλιν κατασχεθεὶς [2]) τῷ συνήθει νοσήματι ἐκμετρήσω τὸν βίον ἔρημος διακόνȣ τȣ̃ κἂν ὕδωρ μοι ἀποκομίσαντος. Περὶ δὲ τȣ̃ ὅτι ȣ̓δὲν ȣ̓δενὶ χρεωστῶ γνωστὸν ἔστω τῇ ὑμῶν ἁγιότητι, ὅτι πέντε μῆνες ἤδη τῆς μιαρᾶς νόσȣ κατεχέσης με τὰ ὀλιγοστὰ ὅσα ἂν εἶχον νομισματίτζια [3]) ἐξεκένωσα εἰς ἰατροὺς τε καὶ ὑπεργȣ̃ντας αὐτοῖς καὶ εἰς τροφὰς διαίτης λεπτῆς· τέως χρεώστης ȣ̓δενὸς ἐγενόμην. Δεικνύει δὲ ἡμᾶς ἀληθεῖς καὶ τὸ ἴσον τοῦ σταλέντος χάρτου μοι παρὰ τοῦ μεγάλου χάρτου ἐναντιȣ́μενον τοῖς ἀγράφοις λόγοις αὐτοῦ. Ἔχω δὲ καὶ πολλȣ̀ς μάρτυρας τῆς ἐμῆς ὑπολήψεως, πῶς μὲν [4]) δυςχερῶς λαμβάνω πρὸς τὸ φυλάσσειν βιάζων αὐτȣ̀ς ποιῆσαι χάρτας, δηλωτὶ γὰρ ὅτι φυλάσσω αὐτοῖς τὸ ῥᾳδίως δὲ ἀποδίδωμι, καὶ ὑμεῖς δέ με μάρτυρες ἀκριβέστατοι, εἴπερ οὐκ ἐπιλήσμονες ἐγεγόνειτε ὧν μοι εὐηργετήσατε. Σελλοχάλινον καὶ λαμπρὸν ᾧ καὶ μέχρι τȣ̃ νῦν χρῶμαι χάριν ἐδίδȣ μοι ὁ ἅγιός με δεσπότης λαμπρῦναι βȣλόμενος καὶ πλέον αὐτὸ καὶ μόλις καὶ βίᾳ καταπειθὴς ἐγενόμην τȣ̃το λαβεῖν παντελῶς ἀπειπὼν τὴν λοιπὴν ἐπιλάμπρυνσιν, εἶτα πάλιν ἡμιόνόν μοι εὐβαδῆ [5]) καὶ λιπῶντα καὶ ὑψηλὸν ἐχαρίζετο [6]). Ὡς δ᾽ ὁ μοναχὸς Ἰωαννίκιος ἐλθὼν ἤρετό μοι πȣ̃ ἡ τȣ̃ ἡμιόνȣ στάσις γενήσεται, ἔφην αὐτῷ· καὶ τίς χρεία ἐμοὶ ἡμιόνȣ; προςκύνησον τὸν ἅγιόν μου αὐθέντα καὶ εὐχαριστήσας πολλὰ ἐξ ἐμοῦ τούτῳ εἰπέ· ὁ θεὸς τηρήσαι τὴν σὴν ἁγιότητα μακροχρόνιον εἰς πολλῶν ἀντίληψιν καὶ περίθαλψιν καὶ μετὰ γῆρας μακρὸν καὶ τῆς ȣ̓ρανίȣ [7]) βασιλείας ποιήσειε μέτοχον, ἡμεῖς δὲ ἡμιόνων χρείαν ȣ̓κ ἔχομεν. Ὁ γȣ̃ν περὶ τὰς χάριτας ȣ̔́τω βραδὺς εἰς τὸ δέχεσθαι ταύτας πῶς ἂν παρακαταθήκης ἢ χρέȣς ἀποστερήσειεν οἱονδήτινα; Ὁ τῆς εἰρήνης θεὸς φυλάττοι μακροχρονίȣς ὑμᾶς.

---

1) AB σθλαβόπωλον suprascripto σκλαβόπωλον. Neutra forma in Lexicis reperitur.

2) A κατασχεθῇς.

3) B νομισματίτζα.

4) B om. μέν.

5) A εὐαδῆ.

6) B ἐχαρίσατο.

7) B τῆς ȣ̓ρανῶν.

ν. ΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΕΦΕΣΟΥ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΚΟΛΠΩΤΩΙ[1].

Ἁγιώτατέ, μοι αὐθέντα καὶ δέσποτα, ὁποίαν τινὰ ἥγημαι τὴν πρὸς τὴν ἐμὴν ἐσχατιὰν ὑμῶν ἐπιφοίτησιν, οἶμαι ὡς ἐδὲ ἡ μεγίστη σε ἁγιωσύνη ἀγνοεῖ. Πάλιν ἓν διὰ τῆς σῆς ἀντιλήψεως ὡς ἔθος πανηγυρίσωμεν τὸ ἐτήσιον· πρὸ ἡμερῶν δύο εἴτ' ἓν μιᾶς σταλέντων ἡμῖν τῶν διακονησόντων τὰ πρόσφορα, ἔρημος γὰρ τῶν τοιέτων ἐγώ. Ἀπέστω δὲ διὰ τῆς σῆς ἀντιλήψεως ἐκ πάντων τῶν ὑφ' ὑμᾶς μόνος ὁ Ἰωάννης ὡς δυςπαιδευτῶν καὶ δυςτράχηλος καὶ θρασὺς καὶ ἀνάγωγος καὶ εἴ τις ἄρα τοιοῦτος τῶν ὑφ' ὑμᾶς ἐστιν ἕτερος, ὅπερ οὐ πείθομαι. Ὡς γὰρ παρὰ προθύροις ἀκέω γεγράφθαι τοῖς Πλάτωνος· Μηδεὶς εἰσίτω ἀγεωμέτρητος, οὕτως ἐν τοῖς ἐμοῖς προθύροις ἄγραφον ἐγκεχάρακταί τι ἐπίγραμμα ἀγλώσσῳ λόγῳ βοῶν· Τὴν Τζέτζου θύραν μηδεὶς εἰσίτω δυςπαιδευτῶν, δυςτράχηλος, θρασὺς καὶ ἀνάγωγος ἄνθρωπος. Ταῦτα τῆς μεγίστης ἁγιωσύνης σε δέομαι προμηθέστερόν τε καὶ προςφυλακτικώτερον[2]) τὴν ἐκείνε ἀβελτηρίαν ἐκκλίνων. Εἰ γὰρ ἐκεῖνος τῇ ἐμῇ κέλλῃ ἐμπαρειςφρήσειε, μὰ τὴν ἁγίαν εὐχήν σε τὸ τε μύθε ἐκεῖνο δρασείω, ὑπεκστήσομαι τῆς ἐμῆς κέλλης ἐκείνῳ, ὡς ὁ παρὰ τῷ μύθῳ νοσηλευόμενος δέδρακεν. Ὡς γάρ τις ἐπισκεψόμενος τοῦτον ἐλθὼν ἐφ' ἱκανὸν ἐκεῖσε διεκαρτέρει τὸν χρόνον, ἀναστὰς τῆς κλίνης ὁ κάμνων κἀκείνῳ εἰπὼν ἔῤῥωσο τῆς οἰκίας[3]) ἀπεφοίτησεν. Οὕτω γοῦν μὰ τὴν ἁγίαν εὐχήν σου δρασείομεν καὶ ἡμεῖς, εἰ ὁ Ἰωάννης τῇ ἡμετέρᾳ κέλλῃ ἐπιδημήσειεν.

να. ΤΩΙ ΚΑΘΗΓΟΥΜΕΝΩΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ ΜΟΝΗΣ ΚΥΡΙΩΙ ΙΩΣΗΦ[4]).

Ἑλλήνων παῖδες, θειότατε δέσποτα, τῆς Ἐπικερείων χορείας δὲ οἶμαι ἦσαν οἱ ἄνδρες, δεκατημόριον ἀμβροσίας[5]) τὸ μέλι ἐτερατεύσαντο. Ἀλλὰ ταῦτα μὲν Ἑλλήνων παῖδες καὶ Ἐπικέρειοι[6]) γαστρὶ καὶ φάρυγγι καὶ[7]) βρώμασιν ἀπονεμέτωσαν τὰ ὀνόματα· ἐγὼ δὲ εἴ τι ἄρα τῶν ἐν ἀνθρώποις ἀμβροσίας ἐγγύτητα κέκτημαι, τῦτο εἶναι τίθεμαι τὰ ἀρώματα. Εἰ

1) Cf. Hist. 249 et 250. B τῷ ἁγιωτάτῳ μητροπολίτῃ. — τῷ κολπωτῷ i. e. Sinuoso; cognomen fuit Joannis Metropolitani Ephesi, τῦ κατὰ ποταμὲς προχέοντος τὰ τῆς φιλοσοφίας νάματα, apud Balsamonem ad Concil. Trull. Can. 20.

2) B προφυλακτικώτερον.

3) A οἰκείας.

4) Cf. Hist. 251. 252. 253.

5) B ἀμβροσίας εἶναι τὸ.

6) B ἐπικέρειοι.

7) B καὶ τοῖς βρ.

δὲ τὰ λοιπὰ τῶν ἀρωμάτων δεκατημόριον φέρει τῆς ἀμβροσίας, τί ἄν τις τὰ τῆς σῆς ἁγιωσύνης καλέσοι ἀρώματα ἢ τίνα προςφυᾶ προςεπιθείη τούτοις τὴν κλῆσιν ὑπερανεστηκόσι παντὸς εἴδους ἀρώματος. Ἡρόδοτος μὲν γὰρ Ὀξύλου ὁ συγγραφεὺς γράφων περὶ τῆς εὐδαίμονος Ἀραβίας φησὶν, ὡς αὖρά τις ζεφυρῖτις ἡδεῖα προςεπιπνέεσα [1]) ἀρωματίζει καὶ δένδρα καὶ γῆν καὶ εἴ τι ἄλλο τῆς εὐδαίμονος ἐκείνης ἐστὶν Ἀραβίας· τὰ δὲ παρὰ τῆς σῆς μεγίστης ἁγιωσύνης ἀρώματα καταπεμφθέντα τῷ δέλῳ σου οὐκ ἀπό τινος ζεφυρίτιδος ἀρωματίζει τῆς αὔρας, ἐκ δὲ τῶν λειμώνων τῆς σῆς θειοτάτης ψυχῆς, ἀὴρ ἀνασκυρτῶν τις ἡδὺς καὶ εὐφρόσυνος αὔραις ἡδείαις ἐκείνοις χαρίζεται τὴν ἐπίπνοιαν. Τοιαῦτά μοι τὰ σταλέντα παρὰ τῆς σῆς ἁγιωσύνης ἀρώματα τὰ τῆς εὐδαίμονος Ἀραβίας ἀσυγκρίτως νικῶντα ταῖς ἐκπνοαῖς, τῷ δὲ τῆς μεγαλοδωρίας ποσῷ τὰ Ἀντωνίε δωρήματα. Προςκυνῶ γοῦν ταῦτα δεξάμενος ἕως ἐδάφες τὴν μεγάλην ἁγιωσύνην σου, ἀνταποτιννῦναι μὴ σθένων δὲ τῆς ἀμοιβῆς τι ἀντάξιον ἀντιδεῖναί σοι τὴν ἀντιδωρίαν ἀξίαν εὐχαῖς τε πάντων ὑπερκειμένε δεδέημαι.

νβ. ΩΣ ΑΠΟ ΤΙΝΟΣ ΠΡΟΣ ΤΙΝΑ.

Οὐκ ἐπιλήσμονες ἡμεῖς ἐν κυρίῳ τριφίλητε ἀδελφὲ κύριε Θεόδωρε, οὐκ ἐπιλήσμονες ἡμεῖς ἀγάπης ἐσμὲν καὶ μᾶλλον τῆς σῆς καθαρᾶς καὶ ἀδόλου, ἔνθεν τοι μηδὲ συνώθει μηδὲ νύττε ἡμᾶς ταῖς γραφαῖς ὥςπερ τινὰς περὶ φιλίαν νωθρὺς καὶ ἀμνήμονας. Ἡμεῖς γὰρ καθ' ἑκάςων ὥςπερ ὑπὲρ ἡμῶν αὐτῶν ὑπὲρ τῆς σῆς ἀγάπης ὑπερλαλεμεν πρὸς τὸν ἁγιώτατον ἡμῶν δεσπότην τε καὶ πατέρα, ὅσα δὴ καὶ δυνάμεθα. Ἀπολαβὼν δὲ καὶ τὰ σταλέντα μοι ἀγριμαῖα παρὰ τῆς σῆς ἀδελφότητος εὐχαρίςησα [2]) τῇ ὄντως περὶ ἡμᾶς ἀδελφικῇ διαθέσει σε καὶ διὰ τε παρόντος μου [3]) γράμματος προςκυνῶ σε καὶ κατασπάζομαι τὸν ἐμὸν ἀδελφόν. Ἔῤῥωσο.

νγ. ΤΩΙ ΚΑΘΗΓΟΥΜΕΝΩΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ ΜΟΝΗΣ [4]).

Μανωὲ μὲν ἐκεῖνος, θειότατε δέσποτα, ἐν ὀπτασίᾳ θεοῦ γεγονὼς ἀνεφθέγξατο· Ἀπολώλαμεν, θεὸν ἑωράκαμεν. Ταῦτα μὲν ἐκεῖνος ὁ Μανωέ· ἐγὼ δὲ τὴν σήμερον ἐνωπίως ἐνώπιον τὴν σὴν κατιδὼν ἁγιότητα τῇ ἡμετέρᾳ ἐσχατιᾷ ἐνδημήσασαν κατὰ τὸν Μωσέα τῆς σῆς πεπλήρωμαι

---

1) B προςεπιειςπνέεσα. — Cf. Herod. III, 112 seq.
2) B ηὐχαρίστησα.
3) B μοι.
4) Cf. Hist. 254 et 255.

χάριτος θείαις ἀκτῖσι τῶν σῶν ἀρετῶν λελαμπρυσμένος τὸ πρόσωπον. Ἀλλ' εἴη πρὸς μακραίωνας χρόνες τῇ ἄνωθεν δεξιᾷ φρερεῖσθαι τὴν σὴν ἁγιότητα, ὡς ἂν ἐποπτικώτερον περιέποις ἡμᾶς τε καὶ ἐκ ὀλίγες ἑτέρες περιαυγάζων ταῖς σαῖς θεοειδέσιν ἀκτῖσιν.

νδ. ΤΩΙ ΑΥΤΩΙ [1]).

Ἁγιωτάτη ψυχὴ, θειότατε δέσποτα, τὸν πορφυρίωνα σωφρονέςατον ὄρνιν ἡμῖν παραδεδώκασιν οἱ περὶ ζώων ἱςορίας πραγματευσάμενοι. Τοσῦτο δὲ τὸ περιὸν τῆς σωφροσύνης αὐτῷ ὡς τελευτᾶν εὐθέως τὸ ζῶον εἰ καὶ μαχλάδα μόνον θεάσοιτο. Τοιῦτον μὲν τὸν πορφυρίωνα αἱ γραφαὶ, θειότατε δέσποτα, περὶ σωφροσύνην ἡμῖν [2]) παραδεδώκασι· τοιῦτοι δὲ καὶ ἡμεῖς ἄρα περὶ τῷ ψεύδεσθαι καθεστήκαμεν. Αἱρετὸν γὰρ ἡμῖν μυριάκις μᾶλλον θανεῖν ἢ ψεύσασθαι ἅπαξ, πολλῷ δὲ πλέον ἐγγράφως. Μὴ ἒν ἡ μεγίστη ἁγιωσύνη σε ἐγγράφως ἡμᾶς ψευδομένες ποιήσῃ τοῖς πολλοῖς ἐξελέγχεσθαι· ἡμεῖς μὲν [3]) γὰρ ὁδοστρωτεῖν [4]) σε πανταχῦ τὰς δυςβάτες ἐγράψαμεν τῆς ἀληθείας ἐχόμενοι· ἡ δὲ παρ' ἡμᾶς ἔξοδός τε καὶ δίοδος ἐκ τῶν ὀρυγμάτων τῶν μοναχῶν δυςχερὴς γενομένη τοῖς ὁδοιπόροις καὶ δύςβατος ψευδογραφοῦντας ἐλέγχει λογίζεσθαι πᾶσι, καίπερ ἀληθέστατα γράφοντας. Διὰ τῆς σῆς ἒν ἀντιλήψεως ἔξελε τῦ ὀνείδες ἡμᾶς.

νε. ΤΗΙ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΩΙ ΚΥΡΙΑΙ ΑΝΝΗΙ ΤΗΙ ΚΑΙΣΑΡΙΣΣΗΙ [5]).

Δέσποινά με ἁγία, ἐγὼ μὲν ὁ δῦλος τῆς βασιλείας σε καὶ γονέων εὖ γεγονότων φυεὶς καὶ λόγοις τραφεὶς μακρόθεν ἀναγωγίας καθέστηκα καὶ ἀπανταχόθεν πρὸς ἅπαντας θηρῶμαι τὸ ἀκατάγνωστον κατεξαίρετον δὲ πρὸς τὰς κατά σε βασιλείας ὑπεροχάς. Τί δέ με τὸ γράμμα βέλεται μάνθανε δέσποινα. Τῶν περὶ τὸν ἱππῶνα [6]) τῆς βασιλείας σε θρασύς τις καὶ ἀγέρωχος ἄνθρωπος ἐπιγαμβρεύσας ἐξ Ἀδριανεπόλεως τζεριχοπρεςβύτερος καὶ ἀθεωτέρῳ πολὺ τῦ ἱκανωτικῦ στογγύλε· ὃν ὁ πρὸ τοῦ Μύρωνος Ἀδριανεπόλεως ἀρχιερεὺς διὰ τὰς ἀῤῥητεργίας αὐτῦ καὶ αἰσχρότητας τῆς ἱερατικῆς παραλύσας ἀρχῆς καὶ τεσσαράκοντα δοὺς ῥάβδων

1) Cf. Hist. 256.
2) B ἡμῖν εἶναι π.
3) A om. μέν.
4) ὁδοστρωτεῖν videtur ἅπαξ λεγόμ. Sed ἡ ὁδοστρωσία, viarum stratura, munus sternendae viae.
5) Cf. Hist. 257. 258. 259.
6) A ἱππῶντα.

πληγὰς ἀφώρισέ τε καὶ ἐξώρισε τῆς Ἀδριανεπόλεως· δι' ὃν ὁ κύριος Ἰωάννης ὁ πατριάρχης τὴν χαλάμαιναν ἡγεμένην τε κοιμητηρίε ὑπάρχεσαν σκυταλίσας τῆς ἡγεμενείας ἐξήλασεν· ὃν ὁ παντοκρατορηνὸς κύριος Νικηφόρος διὰ τὸ ὑπεραίσχρον καὶ βέβηλον στόμα αὐτε τε καὶ τε υἱε αὐτε, ἄνδρας ἱκανὲς στείλας, ἐκέλευσε δεναι μέσον τῆς αὐλῆς τεθέντα τριάκοντα ἓξ ῥάβδων πληγάς· κρυβέντων δὲ τῶν ἀλιτηρίων ὁ ἀναίτιος καὶ μικρὸς υἱὸς τε Τζερίχε κατασχεθεὶς λαμβάνει ῥάβδων πληγὰς δεκατρεῖς, ὃ τὸν Τζέριχον υἱὸν δι' ἐμὰς ὕβρεις ἐκ τῆς τε Μωσηλὲ μονῆς ἀπεδίωξαν βιαιοτέρως. Ὁ ἐπίσκοπός τε Ἀλισάνδων καὶ ὁ γεγονὼς νῦν πρωτέκδικος τέτε τε Τζερίχε Ἀδριανεπολίτε τε κατὰ τὸν πέρισυ καιρὸν ἐν τῇ τῶν ἁγίων ἀποστόλων ἑορτῇ παρὰ τοῦ πατριάρχου κυρίου Μιχαὴλ διαγνωσθέντος τελέως αἱρετικοῦ καὶ καυθῆναι ἀπειλεμένε, οὗ καὶ τὸν Τζέριχον υἱὸν ὁ ῥηθεὶς πατριάρχης ἐκέλευσε λαβεῖν τριάκοντα ἓξ σκυτίνους πληγὰς ἄνω τῶν κατηχεμενείων τῶν κορυφαίων ἀποστόλων. Ὁ δὲ νῦν Θεσσαλονίκης μεσιτεύσας ἐξέσωσε τέτε τε ἀλιτηρίε Ἀδριανεπολίτε γαμβρὸς γεγονὼς ὁ ῥηθείς, δέσποινά με ἁγία, καὶ μὴ ὑπόθεσιν ἔχων μετ' ἐμε, πλὴν τε ὅτι τὸν Τζέριχον καὶ προφανῶς ἐληλεγμένον αἱρετικὸν αὐτε πενθερὸν ε λέγω ἅγιον εἶναι ὁ καὶ τὸ ἄχρι [1]) τοῦ τυχόντος ψεύσασθαι χεῖρον θανάτου δοκῶν. Ταύτην ἔχων τὴν ἀφορμήν, δέσποινά μου ἁγία, μαχαίρας μοι ἐπαπειλεῖ καὶ πληγάς. Ἐγὼ δὲ μὰ τὴν κεφαλὴν τῆς σῆς βασιλείας εἰ μὴ καὶ τὸν πυλῶνα ᾔδειμην τῆς βασιλείας σε καὶ οἰκείαις χερσὶν αὐτοῦ περιγενέσθαι θαῤῥῶ καὶ τοῖς ὑπ' ἐμὲ νικῶ τετον ὑπερασυγκρίτως [2]) καὶ βασιλικῇ βοηθείᾳ καὶ τῇ ἐκ νόμων δύναμαι σωφρονίσαι τέτε τὸ βάρβαρον. Ἀλλὰ τὰς καταγνώσεις ἐκκλίνων ἀπανταχόθεν τῆς βασιλείας σε δέομαι, ὡς ἂν ἐμοὶ ἡ ἐκδίκησις ἐκ τοῦ κράτους σου γένηται· ἣν ἂν δοθήτω μοι μετὰ τοῦ ἀκαταγνώστου καὶ τὸ ἐνδόσιμον εἰς τὸ ἀφελέσθαι αὐτὸν καὶ σωφρονίσαι βασιλικῇ ἐκδικήσει, καὶ γνωστὸν ἔστω τῇ βασιλείᾳ σου, ὅτι οὐδέποτε ἔκτοτε μαχαίρας ἐνθυμηθήσεται λέγειν, ἀλλὰ μισήσει καὶ εἴ που ἀκέσει μαχαίριον καὶ οὐδὲ ἡ εὐχὴ τοῦ πενθεροῦ αὐτοῦ αὐτῷ βοηθήσει. Ἐστάλη τῷ θεσπεσίῳ σε κράτει πρὸς πίστωσιν ὧν ὁ δελός σε λέγω καὶ τὸ ἴσον τῆς πλασθείσης τζεριχοψευδοθεοπτίας τε κλέπτε ὃ [3]) φανερώσαντες καὶ ποιήσαντες ἄπρακτον ἐχθραινόμεθα. Ὡς δελος τῆς βασιλείας σε ἐδεήθην καὶ ἔγραψα.

---

1) B ἄχυρον τε.
2) B ὑπερασύγκριτα.
3) A ὅν.

εὐεργεσίας καὶ ταῖς χάρισι χάριτας. Τίς δὲ ἡ τῆς γραφῆς μου δέησις ἄκουσον. Ὁ Σεβαστὸς ὁ Βατάτζης ὁποίου θέματος δουλείαν ἐνήργησεν οὐκ ἐπίσταμαι· τοσοῦτο γάρ ἔμοιγε δημοσίων πραγμάτων καθέστηκε μέλησις, ὁπόσον [1]) κολιοῖς βασιλείας ἢ ἀετοῖς τῶν νόμων τοῦ Πλάτωνος καὶ ταῖς ἀηδόσιν Ἀριστοτέλους συλλογισμῶν, εἰ βούλει δὲ προςεπίθες καὶ τῶν Χρυσίππου. Τοῦτο γοῦν τὴν δασμοφορίαν τοῦ θέματος ὁποῖον ἄρα καὶ εἴη ἀνατεθῆναι τῇ σῇ αὐθεντίᾳ νῦν αἱ φῆμαι διεκηρύκευσαν. Ἱκέτης οὖν γίνομαι διὰ τῆς παρούσης γραφῆς, ὡς εἴπερ ἡ σὴ αὐθεντία τῷ προῤῥηθέντι Σεβαστῷ συναντήσειε τὸ τοῦ πατρῴου ἰατροῦ μὴ ἐπηρεασθῆναι παιδάριον ἡμέτερον ὂν συγγενὲς, τῷ ῥηθέντι δὲ συνεξελθὸν Σεβαστῷ. Οἶδε δὲ ἡ σὴ αὐθεντία καὶ τὸ παιδάριον ἀκριβῶς τὸ μωρόσοφον ἐκεῖνο καὶ δοκησίσοφον, ὃ τοὺς ἰάμβους ποτὲ τῷ τέλει τῶν πρακτικῶν ἐνεχάραξε καὶ τούτου ἕνεκεν ἡ σὴ αὐθεντία οὐκ ἐπέγραφε ταῦτα, ἀλλ' ἐκινδύνευον ἀπρακτῆσαι τὰ πρακτικὰ, εἰ μὴ καὶ τότε σου ἐδεήθημεν περὶ τούτου, καὶ πάλιν ἡ γραφὴ ποιεῖται τὴν δέησιν.

μη. ΤΩΙ ΑΡΧΙΗΤΡΩΙ ΚΥΡΙΩΙ ΜΙΧΑΗΛ [2]).

Γράφουσιν οἱ λόγοι τὸν Ἀρταξέρξη [3]) μακρόχειρα, ἐγὼ δὲ εἴ τις ἦν Ἀρταξέρξης ἐκεῖνος οὐ σύνοιδα, ὦ τιμία μοι καὶ συγγενὴς κεφαλή. Ἐκεῖνον οὖν οἱ Πέρσαι καὶ περσικαὶ γραφαὶ γινωσκέτωσαν· ἐγὼ δέ σε μακρόχειρα καὶ πλέον ἐκείνου συνίημι τὸν ἐμὸν συγγενῆ, τὸν ἐμὸν ἀδελφόν. Αἱ χεῖρες γάρ σου τοσοῦτο μῆκος ὑπερεξήπλωντο, ὡς ἐκ [4]) τῆς Αἰλίας Ἀδριανοῦ πόλεως πρὸς τὴν βασιλίδα τῶν πόλεων ἐκταθεῖσαι ἡμῖν ὀρέξαι τοὺς περδίκας. Τὴν σὴν οὖν ἀγάπην κατασπαζόμεθα καὶ τῆς γνώμης καὶ τῆς χειρὸς ἕνεκα, πῶς ἂν εἴποις, εὐχαριστοῦμέν σοι. Πλὴν ἀλλ' εὖ τοῦτο ἐπίστασο, ὡς ἐσμὲν ἡμεῖς οὐ βοροὶ οὐδὲ βρωμάτων χαίρομεν δεξιώσεσιν, ἐπιποθοῦμεν δὲ ὑπὲρ χρυσὸν καὶ τοπάζιον γραφὰς προσηγόρους τῆς σῆς ἀγάπης καὶ αὐθεντίας κομίζεσθαι. Τὸ λοιπὸν οὖν ἄλλοις μὲν βρώματα στέλλων ἀπόστελλε, ἡμῖν δὲ ἀντὶ βρωμάτων προσαγορεύσας γραφάς σου. Προςκυνεῖ τὸ παρὸν γράμμα τὴν σὴν ἀγάπην καὶ αὐθεντίαν ὡς ἀπ' ἐμοῦ καὶ πάσης ἐμῆς ἀδελφότητος, προσαγορεύει καὶ πᾶσι τοῖς ὑπὸ σὲ καὶ σὺν σοί. Ὁ τῆς εἰρήνης θεὸς ὑγιᾶ σε διατηροίη καὶ μακροχρόνιον.

μθ. ΤΩΙ ΜΟΝΑΧΩΙ ΚΥΡΙΩΙ ΘΕΟΣΤΗΡΙΚΤΩΙ.

Πάτερ ἅγιε, ἰδὲ ὡς νομίζω ἔγνως ἀκριβῶς τὸν μέγαν χαρτουλάριον

1) B ὁπόσον καὶ κ.
2) Cf. Hist. 246. 247. 248.
3) B ἀρταξέρξην.
4) B ὡς καὶ τῆς.

νζ. ΤΩΙ ΜΕΓΑΛΩΝΑΙ ΤΩΙ ΕΚΠΡΟΣΩΠΟΥ ΤΗΣ ΑΥΓΟΥΣΤΗΣ ΚΑΙ ΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΤΩΙ ΤΖΕΤΖΗΙ ΠΕΡΙ ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΜΗΝΥΟΝΤΙ [1]).

Ἐκ τῶν πρὸς ἡμᾶς, αὐθέντα μου, μηνυμάτων σου σπουδαιότατον ἀναγνώστην τῶν ἱερῶν γραφῶν σε ἐπέγνων, πλὴν εἰ οὕτως ἐκδέχῃ τὸ Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί [2]). Καθὰ τὰ μηνύματα τὰ σὰ παρεμφαίνεσιν, ἔχω κἀγὼ τὸ Σολομώντειον ἀντιπαραθεῖναί σοι, τὸ Μὴ γίνου φρόνιμος παρὰ σαυτῷ. Τὸ μὲν γὰρ Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις ἐῤῥήθη ὡς τὰς ἡμετέρας τηροίημεν κεφαλὰς, ἤπερ ὡς ἐπιβλέποιμεν μὴ ἀπατᾶσθαι τὲς ἡμετέρες αὐθέντας καὶ βασιλεῖς παρὰ τῶν παρ᾽ ὑμῶν χειροτονηθέντων ἁγίων, ἢ, κατ᾽ ἐμὲ πλέον εἰπεῖν, Τζεριχοαγίων [3]) ἢ Κρεστελοαγίων οἳ [4]) ἄπιν ἕνα ἢ μῆλον ἢ σύκα τρία ἢ τέσσαρα βαλόντες [5]) ἐν καλαθίσκῳ καὶ μετὰ δυςτήνε καλογραϊδίε ὠχρᾶ ἢ κλεπταββαδιτζίε τινὸς στείλαντες τοῖς ἡμετέροις αὐθένταις τρεῖς ἢ τέσσαρας λίτρας λαμβάνεσι χρυσίνες οἱ ἀλιτήριοι καὶ οὔτε τῷ κλεπτικῷ ὑπάγονται νόμῳ οὔτε ἀδικεῖν οὐδὲν τὸν βίον λογίζονται. Καίτοι πόσα ποσάκις ἐθεασάμην ἐγὼ τριςάθλια ἀνθρωπάρια, τὰ μὲν ἐνδείᾳ τῶν ἀναγκαίων ἢ χαλκᾶν τινα πρόχοον ἤ τι σκευάριον εὐτελέστερον ὑφελόμενα, ἢ μὴ δ᾽ ὑφελόμενα ἐπιχειρήσαντα δὲ ὑφελέσθαι, κατασχεθέντα δὲ καὶ τὰς ἐξ ἀνθρώπων καὶ ἐπαισίες λαβόντα πληγάς· οἷόν τι καὶ τῆτες περὶ ἀγχίθυρόν τινά μοι οἰκίαν συμβέβηκεν. Ἀνθρώπιον γάρ τι τοιᾶτον παίγνιον τύχης βασκάνε καὶ φθονερᾶς εἰςελθὸν τὴν ἣν ἔφην οἰκίαν ἔφθη μὲν ὑφελέσθαι ἐδὲν, κατάφωρον δὲ γεγονὸς ἅλλεται μὲν ἔκ τινος θριγκᾶ μετεώρε ὡς τᾶ κακᾶ ὑπέρτερον γενησόμενον· πετρώδους δὲ δεινῶς τᾶ τόπε προςπεφυκότος καὶ θραυσμάτων δὲ καὶ ἐρειπίων

---

1) AB Schol.: Ἐπιτίμηται καὶ ἐλεγκτικὴ (ἐλεκτικὴ B) καὶ δριμύττεσα καὶ βαρύτητι γέμεσα μεθόδῳ δεινότητος, γλυκεῖα δοκᾶσα τοῖς ἀστεϊσμοῖς ἐστι φαρμακόμελι. Ἀστεία παρέγκλισις ἐξηγήσεως τᾶ γίνεσθαι φρόνιμοι ὡς οἱ ὄφεις. Cf. Hist. 263 usque ad Hist. 270. — Epistola haec alludit ad mercedem, quam Tzetzes ab imperatricis Irenae liberalitate pro Homericis Allegoriis recepit. In Chil. IX, v. 282 seq. auctor noster tradit, se pro singulis allegoriarum quaternionibus duodecim aureos initio accepisse; at quaternione praegrandi adhibito et triplici scriptione cum exarasset quot carmina decem quaterniones caperent, quaestor aulae imperialis, decuplum pro simplici computans, mercedem primo imminuit, et dein omnino negavit.

2) Ev. Matth. X, 16.

3) A τζεριχαρίων. Cf. Hist. IX, 276.

4) A ἢ ἄπιν.

5) A λαβόντες.

τινῶν τȢ̃ θριγκȢ̃ πεπτωκότων κατεάγη καιρίως τὴν κεφαλήν· οἱ τῆς οἰκίας δὲ τȢ̃τον λαβόντες τῇ τῆς κεφαλῆς ἀγῇ [1]) παραπαίοντα δέεσί τε δεσμοῖς ἀνηλεῶς ὥςπερ λέοντα καὶ ἀφειδεςτέροις ταῖς μάστιξιν ἔπαιον. Ἄνθρωποι δὲ παχεῖς ἦσαν οἱ πλείους καὶ παιδάρια τὰ κατασχόντα τὸν ἄθλιον· ἐβόων ἐν παίοντες· Ἔλθοις ἄρα καὶ πάλιν φωράσων; Τὸ δὲ παραπαῖον ἐκ τῆς πληγῆς καὶ οὐκ εἰδὸς ὅτι λόγον ἐκείνων τοῖς λόγοις συγκατετίθετο· οἱ δὲ τῷ θυμῷ ἐπιπλέον ὑπαναπτόμενοι μικροῦ τελέως τὸν ἄνθρωπον ταῖς πληγαῖς ἂν κατεχρήσαντο, εἰ μὴ μόλις με ταῖς ἀκοαῖς πεφθακότος τȢ̃ πράγματος αὐτὸς ἐγὼ κωλυτὴς τοῖς μαστίζεσι παραγίνομαι καὶ σὺν τῇ εὐχῇ τῆς τε Κυραζεβάης καὶ τȢ̃ ΕὐεργετηνȢ̃ Στυλοβάτου καὶ τȢ̃ τῶν ἐρανιῶν ἀψίδων περιπολευτȢ̃ καὶ ἑτέρων τοιȢ́των ἁγίων πολλῶν τὸν ἄνθρωπον ῥύομαι. Ἀναδιδάσκω γὰρ τοῖς γηραιόφροσιν ἐκείνοις παισὶ τὸ συμβάν, ὅτι παραπαίει ὁ ἄνθρωπος ἐκ τȢ̃ πλήγματος καὶ οὐκ οἶδεν ὅ λέγει, καὶ ὅσον οὐκ ἤδη καὶ κινδυνεύει τὰ ἔσχατα· λύσατε γȢ̃ν τȢ̃τον τὴν ἀνθρωπείαν φύσιν οἰκτείραντες κἀμὲ ὑμῶν ἱκνέμενον αἰδεσθέντες· ἄλλως τε μηδὲ κεκλοφότος αὐτȢ̃ τι ἐξ ὑμῶν, ὅπε γε ὁ Στυλοβάτης ὁ δεῖνα καὶ δεῖνα καὶ ἡ δεῖνα καὶ δεῖνα ἁγία βίȢς ὅλȢς ἀνθρώπων ὑφαιρέμενοι οὐ μόνον οὐ τοιαύταις μαστίζονται ταῖς πληγαῖς, οὔτε τῷ κλεπτικῷ ὑποπίπτεσιν ὀνόματι, ἀλλὰ καὶ ἅγιοι ὀνομάζονται. Ἐπὶ τȢ́τοις γνόντες τε τὸ δέον οἱ παῖδες καὶ τοῖς τοιούτοις μου λόγοις διαχυθέντες ἄνετον τοῦ λοιποῦ τὸν ἄνθρωπον εἴασαν. Οὕτως ἄθλιά τινα ἀνθρωπάρια τὰ μὲν σκεῦός τι μικρὸν κεκλοφότα ἢ ἐπιχειρήσοντα κεκλοφέναι κατασχεθέντα μαστίζονται τὰς ἐξ ἀνθρώπων πληγάς· τινὰ δὲ πάλιν ἰχθυοπρατοῦντα ἢ ὀπωροπρατοῦντα ποσάκις καὶ οἵως κατεμαστίχθησαν, ὅτι τυχὸν τȢ̀ς σκόμβρȢς ἢ τὰ μῆλα ἐκ τȢ̃ αἰγιαλοῦ δώδεκα τοῦ χαλκοῦ ἐξωνούμενοι αὐτοὶ τιμιουλκοῦσι μεταπιπράσκοντες [2]) δέκα· αὐτίκα γὰρ ὁ δῆμος ἅπας τῆς πόλεως τῷ ἐπάρχῳ βοᾷ· ἆρον, ἆρον, στρῶσον αὐτȢ̀ς τȢ̀ς τιμιελκȢ̀ς τῶν σκόμβρων καὶ τῶν μήλων, οἳ ἐκ τȢ̃ αἰγιαλȢ̃ δώδεκα ταῦτα ἐξωνέμενοι δέκα μεταπιπράσκεσι, μὴ [3]) λογιζόμενοι ὁ κακόνȢς ἔτος λαὸς, ὅτι νωτοφορȢ̃ντες ταῦτα ἐκ τȢ̃ αἰγιαλȢ̃ τῇ ἀγορᾷ ἐπηνέγκαντο, ὁ μὲν τῇ ὀζώδει σκάφῃ ἐκείνῃ, ἣν ἐγὼ ἐδὲ ταλάντε ἂν ἐνωτοφόρησα πώποτε, τὰ δέ γε μῆλα τὸ ἄθλιον γυναικάριον σάκτᾳ [4]) τινὶ παλαιῷ πεφορτισμένον αἰγιαλόθεν ἀνήνεγκε. Πολλάκις ἐλεεινὰ οἷα εἶδον ἐγὼ τρία ἢ

1) AB Gloss. τῷ θραύματι.

2) A τὰ μεταπιπράσκοντα.

3) B οὐ λογ.

4) In B suprascriptum σακκίῳ.

τέσσαρα παιδάρια ἔχον ἢ [1]) προσεπιτούτοις δέον ἐπάρχῳ μερίδα δοθῆναι ἐκπροσωποῦντι, ἐπόπταις, ἐπιτηρηταῖς, πρωτοκαγκελαρίοις, μανδάτωρσι, δομεστίκοις καὶ πάσῃ τάξει τῇ περὶ ἔπαρχον. Οἱ δὲ ῥηθέντες οὗτοι Τζούριχοι καὶ Τζουριχοχειροτόνητοι ἅγιοι ἄνευ τινὸς βάρους τούτου τριῶν ἢ δύο χρυσίνων λιτρῶν ἢ τὸ εὐωνότατον πάντων λίτρας χρυσίου τὸ μῆλον πιπράσκοντες καὶ ἀφαιρούμενοι καὶ βίους ὅλους ἀνθρώπων οὔτε τοῖς κλεπτικοῖς ἐγκλήμασιν ὑποπίπτουσιν οὔτε ἀδικεῖν οἱ λιτρομῆλαι τὸν βίον νομίζονται. Περὶ ὧν φασὶν [2]) ἱερὰ λόγια· Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας κλέπτης ἐστὶ καὶ λῃστής. Τί τοῦτο; ὁ μὴ τὴν τετριμμένην ὁδὸν καὶ μέσην βαδίζων καὶ γνώριμον καὶ κατὰ τοὺς μοναχικοὺς πολιτευόμενος νόμους καὶ εἰσεληλυθὼν ἔν τινι κοινοβίῳ μοναστηρίῳ δαμαστηρίῳ τῶν μοναχῶν, ἀλλ' ἢ ἔγκλειστος ἢ στυλοβάτης ἢ περιπολευτὴς οὐρανίων ἀψίδων ἢ χωστὸς ἢ χωστὴ ἢ χώστης ἢ θῆρας ἕλκων ὥσπερ Ὀρφεὺς ἢ [3]) δερματοφορῶν ἢ κωδωνοφορῶν ἢ ἑκὼν μὴ λαλῶν ἢ κλώθων τὴν γενειάδα ἢ ψωμοῦ μὴ γενόμενος ἢ οἴνου, σάρκας δὲ ἀνθρωπίνους ἐσθίων καὶ αἵματα ἢ ἄλλο τι παρὰ τὸν ῥηθέντα μοναχικὸν νόμον ποιῶν κλέπτης ἐστὶ καὶ λῃστὴς καὶ πλεῖον οὐδὲν, περὶ ὧν καί τις τῶν προφητῶν λέγει· ὦ οἱ ποιμένες τοῦ Ἰσραὴλ, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτων διεφθείρατε τὴν διαθήκην τοῦ Λευί, καὶ πάλιν ἕτερος· ὦ οἱ ποιμένες τοῦ Ἰσραὴλ οἵ οὐκ ἦσαν ποιμένες, ἀλλ' ἔθυον τὰ πρόβατα καὶ κατεσιτοῦντο τὰ πίονα καὶ τὰ κατάλοιπα κατελίμπανον εἰς κατάβρωμα τῶν λύκων. Περὶ τοῦ μὴ περὶ τοιούτων ἀπατᾶσθαι ἡμᾶς [4]) φρονίμους εἶναι ὡς ὄφεις παρακελεύεται ἡ θεία γραφή. Ὅταν οὖν τις τοιούτων στείλῃ ἀπίους ἢ σῦκα ἢ μῆλα τριλιτραῖα ἢ διλιτραῖα ἢ λιτραῖα τὸ ἔσχατον, μὴ δέχεσθαι ἀλλ' ἀποπέμπειν ἐξοπίσω, μήπου τι κακὸν θνητοῖσι γένηται. Τί τὸ κακόν; μὴ καὶ πολλῶν ἑτέρων ζηλωσάντων ἐκείνους τοὺς λιτρομήλας οἱ μὴ λίτρας ἔχοντες ἀποθάνοιμεν ἄμηλοί τε καὶ ἄσυκοι καὶ ἀνάπιοι. Ὅταν οὖν τοιοῦτός τις στείλῃ τοιαύτην ἀποστολὴν, λέγε τοῖς οἰκείοις αὐθένταις· ὁ ταῦτα στείλας ἢ ἅγιος ἢ ὀπωροπράτης ἐστίν· ἂν μὲν οὖν ἅγιος, χρημάτων οὐ δεῖται, ἂν δ' ὀπωροπράτης ἐστὶν, ἀνήκει τοῦτο [5]) κατὰ τοὺς ὀπωροπρατῶν νόμους τριώβολον [6]) ταῖς ὀπώραις αὐτοῦ καὶ πλεῖον οὐδέν. Καὶ περὶ μὲν τούτων

---

1) B καὶ πρ.
2) B φασὶ τὰ ἱερά.
3) B ἢ καί.
4) A ὑμᾶς.
5) B τούτῳ.
6) B τριόβωλον.

εἴρηκα ταῦτα. Εἰ δέ τίς ἐςιν ἄνθρωπος μὴ μεταγραφεὺς μηδὲ γράφων μὲν ἁπλῶς δὲ καὶ ἀφ' ἑαυτῦ ἃ βόλεται ἀλλὰ μεταφράζων κατὰ λεπτὸν μηδὲ τὸ τυχὸν παρεῶν, ἀποκομίσοι δέ σοι ἐνὶ μεγάλῳ τετραδίῳ πάνυ περ πυκνῷ ποσότητα δέκα τετραδίων μεγάλων καί τι τότων ἐπέκεινα χαρίζεταί σοι τῷ τοιότῳ καθ' ἐνὶ τετραδίῳ τετράδια ἐννέα ἤπερ κόλλας τριάκοντα ἕξ, δέχῃ δὲ σὺ τῦτο ὡς ἕν, λέγει τότε [1]) πρὸς σὲ Σολομῶν· Μὴ γίνου φρόνιμος παρὰ σαυτῷ, δεῖξον δὲ τῦτο πᾶσι, καὶ κατὰ μὲν τὸ γράμμα εὑρήσεις αὐτὸ δέκα μεγάλα τετράδια, εἰ δ' εἰσὶν ἐκείνϐ συγγράμματα εἴκοσι λογίζονται· ἐπεὶ δὲ μετάφρασίς ἐστι κατὰ λεπτὸν γενομένη τριάκοντα. Μὴ γῦν ἀπαίτει τότε αὐτὸν τρία τοιαῦτα γράψαι τετράδια τῷ μὲν φαινομένῳ ποσῷ τριάκοντα γεγονότα, τῇ δὲ ἀργίᾳ καὶ βίᾳ ἐνενήκοντα καὶ μετὰ ταῦτα λέγε· δοθήσεταί σοι φιλοτίμημα. Εἰ γὰρ οὕτως ἔχει ὡς ἐκείνϐς μὲν ἀκοπωτὶ λαμβάνειν ἐφ' ἑνὶ μήλῳ τὰ τρίλιτρα καὶ καλεῖσθαι καὶ ἁγίϐς, ἡμᾶς δὲ μετὰ τοσῦτον κόπον φιλοτιμίαν λέγω κἀγὼ ὅ ποτε εἶπεν ὁ Τζέτζης· εἰςελθὼν γὰρ εἰς ἐκκλησίαν καὶ στιχολογοῦσιν ἐντυχὼν τῷδε τῷ τόπῳ καὶ συνθραύσει τὰ κέρατα τῶν ἁμαρτωλῶν καὶ ὑψωθήσεται τὸ κέρας τῦ δικαίϐ, ἐξ Ἡσιόδϐ χρησάμενος εἶπε·

Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
Εἴην μήτ' ἐμὸς υἱὸς ἐπεὶ κακὸν ἄνδρα δίκαιον
Ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει [2]).

Ταῦτα κἀγὼ φαίην ἄν, εἰ ἐκεῖνοι ἐπὶ τῷ μήλῳ τοσαῦτα λαμβάνϐσιν, ἡμεῖς δὲ μετὰ τοσαύτην μετάφρασιν ὅσον ὑμῖν [3]) ὁ Θεὸς ὁδογήσει φιλοτιμίας ποσόν. Καὶ ταῦτα μὲν ὅτως· ἐγὼ δὲ ἅγιέ με αὐθέντα ἐκ ὀχλῶν ταῦτα λέγω, ἀλλ' ἵνα μὴ μωρὸς νομισθῶ καὶ ὅλον κἂν κελεύητε τὸ βιβλίον ἵνα γράψω, καὶ τότε ἡ ὑμῶν αὐθεντία ἐπ' ἐμοὶ ποιησάτω ὅ βόλεται.

νη. ΤΩΙ ΚΡΑΤΙΣΤΩΙ ΚΑΙ ΑΓΙΩΙ ΗΜΩΝ ΒΑΣΙΛΕΙ ΚΥΡΙΩΙ ΜΑΝΟΥΗΛ ΤΩΙ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΩΙ [4]).

Τῷ παγκρατίστῳ κράτει τῆς θεοπροβλήτϐ κραταιᾶς καὶ ἁγίας βασιλείας σε ὁ ἀνάξιος δῦλός σϐ συγχαίρω, κράτιστε βασιλεῦ, καὶ νίκης ἄγγελος εὐαγγέλϐ ἐξευαγγέλλων ὀνείρων σοι γίνομαι, εἰ τὴν σκυθικὴν ἵππον δέξῃ τῦ κράτϐς σϐ σύμμαχον. Ἐγὼ γὰρ ὁ ἀνάξιος δῦλος τῦ κράτϐς σϐ

1) B τῦτο.
2) Cf. Hesiodi O. D. 270 seq.
3) A ἡμῖν.
4) Cf. Hist. 271. 272. 273. 274. Verba καὶ ἁγίῳ ἡμῶν, quae in A non leguntur, ex B in textum recepi.

ȣ̓́τε τι μάντις ἐὼν ȣ̓́τ' οἰωνῶν σάφα εἰδὼς ἐδ' ὑπάρχων ἀββᾶς ἢ παπᾶς ἢ τῶν ἄλλων ἀρετὴν μετερχόμενός τινα, ὀνείρους δὲ ἄντικρυς μαντείας καὶ χρησμῳδήματα βλέπων ἐνίοτε γινώσκω τὰ τȣ́των ἀποτελέσματα. Οὐδὲ γὰρ ἐκ βρωμάτων ἢ κραιπάλης καρηβαρῶν [1] *καὶ κατόχιμος ὕπνῳ γενόμενος ὀνειροπολῶ, ἀλλὰ νήφων τε καὶ ἀκραίπαλος καὶ μηδὲ καθεύδων σχεδὸν ὡς ἄρα πολλοὶ τὴν ἡμετέραν διαγωγὴν καὶ κατάστασιν ἴσασι, καὶ κατὰ τὴν νῦν ἐπιφαύσκεσαν* [2] *κυριακῆς ἡμέραν τοιȣ̃τό τι* [3] *συνέβη μοι. Ἐγγωνιάζειν γὰρ εἰωθὼς, καὶ μήτοι γε ἀγορὰς ἀλλ' ἐδὲ λεωφόρȣς περιερχόμενος, ἀναπεσὼν ἐπὶ τὴν ἐμὴν κλίνην ὡς καθευδήσω τὸ σύνηθες οὐκ εἰώμην καθεύδειν· ψυλλῶν γὰρ νέφος ὑπὲρ ἐκείνην τȣ̃ Ξέρξȣ τὴν ἄμετρον στρατίαν μοι ἐπεστρατεύετο καὶ πανταχόθεν ἐτειχομάχει με. Τοσούτῳ κακῷ περιστοιχιζόμενος ὑπὲρ τὸν τοῦ* [4] *Ἰξίονος ἐστροφοδινούμην τροχὸν ὁλονύκτιος μέχρι τȣ̃ ὑπαυγάζειν ἡμέραν· ἐπιμύσας δὲ τότε τῷ κόπῳ καὶ ταῖς ὀδύναις μόλις τὰ βλέφαρα καὶ σχεδὸν ἄυπνος ἔτι ὑπάρχων ἐδόκησα περὶ τὴν τȣ̃ Λεωμακέλλȣ* [5] *περιπατεῖν ἀγορὰν καὶ ἐντυχεῖν βασιλείῳ τινὶ χρυσοχόῳ τὴν τέχνην, πλησίον ἐργαστηρίου τινὸς μυρεψοῦ στρατονίκου κονδȣ̃ ἀναγινώσκοντι βιβλίον καὶ ἐδόκει μοι πρῶτον εἶναι τὸ βιβλίον τῶν εὐτελῶν πλὴν τῆς θείας γραφῆς, ὡς δὲ ἤκουσα τούτου ἀναγινώσκοντος εἶπον· Κύριε βασιλεῦ, ȣ̓̃κ εἰσι ταῦτα τȣ̃ Δεξίππȣ τὰ Σκυθικά; καὶ τȣ́τȣ εἰπόντος μοι Ναί, εἶπον ἐγώ· Καὶ τίς σοι ἔδωκε ταῦτα; ὁ δὲ εἶπέ μοι ὁ βελλωτής. Δύο δέ εἰσι βελλωταὶ, πατὴρ Θεόδωρος τὴν κλῆσιν καὶ υἱὸς κυρίȣ διάκονος· ὃν υἱὸν μᾶλλον ἐδόκησα εἶναι τὸν δόντα καὶ ἐθαύμασα ταῦτα* [6] *τριπλῶς, ὅτι τε ὀλιγογράμματος ὢν ὁ βασίλειος καὶ τὰ πρῶτα καὶ στοιχειώδη μόνον παιδευθεὶς γράμματα τοιȣ̃τον ἀνεγίνωσκε βιβλίον καὶ ὅτι κατωτέρω πολὺ οἰκῶν ἐδόκει μοι τότε πλησίον τȣ̃ στρατονίκȣ ἐργαστηρίȣ οἰκεῖν, καὶ τȣ̃το δὲ σὺν τȣ́τοις ἐθαύμαζον, ὅτι ὅπερ βιβλίον ἐδόκουν ποθεῖν ἀναγνῶναι ἐγὼ ὁ βουλλωτὴς ἔδωκε τῷ ῥηθέντι χρυσοχόῳ ἀναγινώσκειν. Ἦν δὲ τὸ βιβλίον* [7] *κεκομμένα τινὰ σειραδώματα ἔχον καί τινα φύλλα ὡς ἐκ πυρὸς ῥυτιδωθέντα· πλὴν ἔλεγον ὅτι εἰ καὶ τοιȣ̃τό ἐστιν ὅμως καλὴν πραγματείαν ἔχει καὶ οὐ φροντὶς περὶ*

---

1) A *καρηβαρῶ.*

2) B *ἐπιφάσκευσαν.*

3) B *τοιȣ̃τό τοι.*

4) B om. artic. *τȣ̃.*

5) B *λεωμακελλίȣ.* — Meminit Codinus in Orig. Constant. loci *λεομακέλλου* (sic) dicti Constantinopoli, quem perperam a Leone Macello Imp. dictum putat. Cf. Cangii Gl. gr. p. 806.

6) B *τȣ̃το.*

7) B *βιβλίον καὶ κεκ.*

φύλλων καὶ σειραδώματος. Ἔκρινα γὰρ βασίλειον χρυσοχόον εἶναι τὴν σὴν κραταιοτάτην βασίλειον αὐτοκρατορίαν, ἥτις κατωτέρω μὲν τῷ δοκεῖν κατῴκει τοῦ στρατονίκου, χέασα δὲ χρυσὸν καὶ δεξαμένη τὴν σκυθικὴν ἵππον εἰς συμμαχίαν ἐκ τοῦ βελλωτοῦ Θεοδώρου τοῦ στρατηλάτου ἢ Κωνσταντίνου τοῦ μεγάλου υἱοῦ αὐτοῦ διὰ πίστεως χρηματίζοντος, βελλωσάντων αὐτῶν καὶ δεσμησάντων τοὺς ἐναντίους ἐν τῷ ἐργαστηρίῳ τοῦ κονδοῦ στρατονίκου ἀνελεύσεται, τουτέστι Θεῷ καὶ τοῖς ῥηθεῖσιν ἁγίοις βοηθούμενος καὶ χρυσῷ δεξάμενος σύμμαχον καὶ τὴν ἵππον τὴν σκυθικὴν κονδῶς καὶ συντόμως ἐργάσῃ νίκην καὶ τρόπαια. Ὡς δοῦλος ἀνάξιος μὲν, φιλαυτοκράτωρ δὲ καὶ φιλόπατρις ἔγραψα.

νθ. ΤΩΙ ΣΥΖΥΓΩΙ ΤΟΥ ΜΕΓΑΛΟΥ ΕΤΑΙΡΕΙΑΡΧΟΥ ΟΤΕ ΟΙ ΑΛΑΜΑΝΟΙ ΗΛΘΟΝ ΚΑΤΑ ΤΗΣ ΠΟΛΕΩΣ [1]).

Εὐσύμβολον ἡμῖν καὶ τῇ βασιλίδι τῶν πόλεων ἐθεάσω τὸν ὄνειρον ὦ πανσέβαστε κεφαλή· τὸ μὲν γὰρ πλίνθινον τὸ τεῖχος ταύτης ὁρᾶν ἐκ ἀσθενείας ἐστὶ σύμβολον, ὡς ἄν τις οἰήσαιτο ἀλλὰ πλησμονῆς εὐκαρπίας ἁπάσης τῆς ἐκ τῆς γῆς τεκμηρίωσις, ᾗς πλήθουσαι πόλεις τῶν Σεμιραμείων τειχῶν ὀχυρώτεραι καθεστήκασι, κἂν καὶ κατὰ τὴν Σπάρτην ὦσιν ἀτείχιστοι. Τὸ δὲ πανοπλίας πλήθουσαν ὁρᾶν τὴν τοῦ βοὸς ἀγορὰν καὶ περὶ τὸν ταῦρον ἄνδρα κιῤῥὸν ἤτοι κιτρόχρουν ἀποδυρόμενον αὐτὸ τὸ περὶ πολλοῖς τεθρυλλημένον ἑώρακας τὸ Βοῦς βοήσει καὶ ταῦρος θρηνήσει, ὅπερ καὶ ἀποβήσεται νῦν σὺν Θεῷ. Ἀλλά σε τοῦτο μὴ ταραττέτω· οὐ γὰρ ὡς ἡ ὀχλώδης καὶ βάρβαρος [2]) φρὴν οὕτω καὶ ἡμεῖς ἐπικρίνομεν, ἀλλὰ ταῦρον μὲν ἴσθι τὸν ἄῤῥενα βοῦν λέγεσθαι παρ' ἡμῶν, βοῦν δὲ τὴν θήλειαν· τὸν οὖν ταῦρον ἰταλὸν οἶδε καλεῖν πᾶς λατῖνος καὶ ῥωμαῖος ἀνήρ. Οὗτος οὖν ὁ ταῦρος ὁ ἰταλὸς καὶ λατῖνος λεὼς εἰ καταπειθὴς οὐ φανείη τῷ βασιλέως θελήματι, βοήσει μὲν ἡ βοῦς ὅπλων παντοίων μεμεστωμένη, δηλονότι τὸ μέρος τῆς ἡμῶν βασιλίδος τῆς ἐκ τοῦ ταύρου γένους τοῦ ἰταλοῦ ἤπερ πολεμικὸν ἐμβριμήσεται καὶ ὁ ταῦρος θρηνήσει ὁ προλεχθεὶς καὶ ὠχριάσει τρόμῳ πολλῷ κατόχιμος γεγονώς. Οὕτω μοι πανσέβαστε καὶ τοῖς ἰδιώταις λέγειν ἑρμήνευε τὸ Βοῦς βοήσει καὶ ταῦρος θρηνήσει, προστιθεῖσα [3]) τοῖς λόγοις ὡς ὁ Τζέτζης οὕτω συμφερόντως τε καὶ βαθέως καὶ ἐκ ἐπιπολαίως ἀποτροπαίως νοοίη καὶ τὸ Οὐαί σοι ἑπτάλοφε, ὅτι οὐ χιλιάσεις, οὔτω νοείτωσαν οἱ τῶν πολιτῶν πτοιωδέστεροι· ὅτι κἂν οὐ χιλιάσῃς,

---

1) Cf. Hist. 275. 276. 277. 278.

2) B καὶ βάναυσα.

3) B προστιθεῖσα.

ὅμως οὐ θρῆνος ἐσεῖταί σοι ὡς ταῖς ἑτέραις τῶν πόλεων καταῤῥιπτομέναις εἰς γῆν, ἀλλὰ χαρὰ δηλονότι καὶ ἐπὶ πλέον λαμπρότης καὶ αὔξησις ὡς τὸ Ἐπεὶ οὔ μην [1]) ἀφαυρότατος ἔβαλ' Ἀχαίων. Γέγονε δὲ τοῦτο καὶ καθ' ἑκάστην τῇ περιβλέπτῳ γίνεται πόλει. Κτισθεῖσαν γὰρ ταύτην περὶ τῦ μεγάλυ Κωνσταντίνυ πρὶν βραχυτέραν καὶ ἀκαλλεστέραν μακρῷ Θεοδόσιος ἦρεν εἰς κάλλος καὶ κατεκόσμησεν· ἔπειτα πάλιν ὁ καθ' ἕνα τῶν μετ' αὐτὸν βασιλέων ναοῖς καὶ οἰκήμασιν ἐπελάμπρυνε καὶ μέχρι νῦν λαμπρύνεταί τε καὶ αὔξεται, εἴθε δὲ καὶ μέχρι παντὸς μὴ παύσαιτό γε λαμπρυνομένη καὶ αὔξυσα, χειρὶ φρυρυμένη θεῦ. Ὡς δῆλός συ ἔγραψα, διὰ τῆς σῆς δὲ ἀντιλήψεως καπνισματίτζιν [2]) βραχὺ ἀμπαρατίτζιν σταλήτω μοι.

ξ. ΤΩΙ ΤΡΙΦΥΛΗΙ [3]).

Αἰεὶ μὲν ὁ θειότατος Ὅμηρος ἀνδρῶν ὁπλοτέρων φησὶ φρένες ἠερέθονται [4]), σὺ δὲ καίπερ Ὁμήρου ἀκηκοὼς καὶ παρ' ἡμῶν δὲ συχνάκις ἐκδιδασκόμενος ἐκ ἠβυλήθης τῦτο πρὸς νῦν βαλέσθαι οἰκεῖον, ἀλλ' ὡς ἔοικεν ἐς πλέον τῶν ἄλλων αἰωρυμένας ἔχων τὰς φρένας ὡς μικρὰν ἐβδελύξω τὴν κυρίυ καὶ τῶν σῶν διατριβῶν ἀναξίαν, ὑπερπετασθῆναι δὲ τὰ Θετταλικὰ Τέμπη ἐπέσπευσας λόγοις μειρακυλλίων πτιλώδεσι καὶ ἁπαλοῖς πτερωθείς. Εἰ μὴ γὰρ τοιῦτος ἦσθα τὰς φρένας καὶ τοιυτοτρόπως ἐκβεβυκόλησαι, ὐκ ἂν ὔτε τὴν βασιλίδα τῶν πόλεων χείρω Θετταλικῶν νενόμικας [5]) πόλεων, ὔτε δυλείαν καὶ ταῦτα πικρὰν καὶ μὴ [6]) συνοίσυσαν, ὥςπερ γράφεις αὐτὸς, ἐλευθερίας, ᾗ θεὸς τὸν ἄνθρωπον ἐτιμήσατο, ἐφάνης ἂν προτιθέμενος. Ἀλλ' ὅμως πάλιν Ὁμήρυ κατήκοος γεγονὼς χρῆσαι τύτῳ συμβύλῳ γράφοντι ὑτωσί·

Τλῆτε φίλοι καὶ μείνατ' ἐπὶ χρόνον ὄφρα δαῶμεν
Εἰ ἐτεὸν Κάλχας μαντεύεται ἦε καὶ ὐκί [7]).

Εἰ δέ γε καὶ βραχύν τινα ἐξήκοντα θυάσῃ τὸν χρόνον καὶ τῷ πάθει πάθος οὐ λάβοις, ἔνοχος ἄρα τότε τῇ τῦ Ἀσκραίυ γενήσῃ φωνῇ οὑτωσί πως βοώσῃ·

---

1) B μιν.
2) Sic AB κάπνισμα est incensum, thus. Cf. Cangii Gl. p. xxv. et Kiessling. ad Chil. XIII, 373.
3) Cf. Hist. 279 usque ad Hist. 288.
4) Hom. Il. III, 108.
5) A νενόμηκας.
6) B μὴ δὲ.
7) Odyss. III, 299 sq.

῞Ος δέ κε μηθ᾽ αὐτὸ νοέων [1]) μήτ᾽ ἄλλȣ ἀκέων
῎Εν θυμῷ βάληται, ὁ δ᾽ αὖτ᾽ ἀχρήιος ἀνήρ [2]).

Καὶ εἴπερ ἐμοῦ ἔτι γραφῆς δεηθείης ἑτέρας, τὸ πρὸς τὸν Λαέρτȣ ῥηθὲν περὶ τȣ̃ Αἰόλȣ ἀκέσειας·

᾽Ερρ᾽ ἐκ νήσȣ θᾶσσον ἐλέγχιστε ζωόντων,
Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει [3]).

῞Ομως ȣ̓κ ἀπειρηκὼς συμβȣλεύω [4]) σοι πάλιν ἀριδηλότερον, ȣ̓κ ἐν σκιᾶς δὲ τύπῳ καὶ εἰκονίσμασιν, ἔτι μικρὸν ὑπόμεινον, καὶ εἰ τὰς ὑποσχέσεις ἐξηκούσας ἴδῃς εἰς τέλος ποίμαινε, πύκτευε, δούλευε, ἵνα τὰς δύο γυναῖκας εἰςαγάγῃαι, τȣτέστιν ἵνα Θεσσαλονίκηθεν ὄφελος σχοίης κἄκ τῆς Μεγαλοπόλεως τὰ τοῖς σοῖς ὀφρικίοις ἀνήκοντα· εἰ δὲ παρακρουομένας καὶ ἀπατηλὰς εἶναι ταύτας νομίσειας, τί ἔτι σοι ἂν λέξαιμι; Οὐ γὰρ ἀπὸ δρυὸς σὺ εἶ ȣ̓δ᾽ ἀπὸ πέτρης [5]), μόνος αὐτὸς τὸ συνοῖσον νοεῖς. Εἰ δὲ καὶ πρὸς τοῦτο ἔτι ἐξαμαθαίνεις καὶ δέῃ τοῦ συμβȣλεύσαντος ὁ τοῦ Βάκιδός σε πινυσκέτω χρησμὸς καὶ Σιβύλλης [6])·

᾽Ω μέλεοι τί κάθησθε; λιπὼν φεύγ᾽ ἔσχατα γαίης,
῎Ανδρας, οἳ Βύζαντος ἕδος καταναιετάȣσι [7]).

Καὶ ταῦτα μὲν ȣ̔́τως. ῾Ο δὲ τὰ σκολιὰ μετατρέπων θεὸς εἰς εὐθέα καὶ σοφίζων τυφλȣ̀ς αὐτὸς καί σε νῦν φρενώσειε [8]) καὶ θείη τὸ βέλτιον ἐπιγνόντα τȣ̃το ἄρα καὶ διαπράξασθαι καὶ πρὸς ἡμᾶς ἐπαναζεῦξαι φρονȣ̃ντα τὰ λῷονα καὶ συνοίσοντα. Προςαγορευθήτωσαν [9]) ἀφ᾽ ἡμῶν διὰ σȣ̃ πάντες οἱ μετὰ σȣ̃ καὶ σὺν σοί.

ξα. *ΤΩΙ ΑΥΤΩΙ* [10]).

᾽Εδεξάμην ὅπερ ἐπόθȣν, ἐπέλαβον ὅπερ ἐζήτȣν, τὴν ζῶσαν ἐπιςολὴν, τὴν ἔμπνȣν ἀποστολὴν, τὸν βιβλιαφόρον τὸν ἀγχινȣ́στατον, δῶρον ἀντί-

1) B om. ȣ̓ et νοέων.
2) Hes. O. D. 296 sq., ubi Ven. *μήτ᾽ αὐτὸς*, Med. 5. *μήθ᾽ αὐτὸς*, alii *μήθ᾽ αὐτῷ* et *νοέῃ* et *βάλληται*.
3) Odyss. XX, 72.
4) B *συμβȣλεύσω*.
5) Hom. Il. XXII, 126.
6) AB Schol.: *Σχόλιον μέχρι τȣ̃ ἔσχατα γαίης Βάκιδός ἐςιν, τὸ δὲ ἐντεῦθεν Σιβύλλης*.
7) Oraculum ap. Herodot. 7, 140.
8) B *φρȣρήσειε*.
9) B *ὡς ἀφ᾽*.
10) Cf. Hist. 289 usque ad Hist. 296.

στροφον μὲν, πλὴν οἷόν ποτε Ἀβραὰμ ἐκεῖνος προςήνεγκε τῷ θεῷ. Ἐκεῖ μὲν γὰρ θεῷ πατὴρ καλὸν εἰςάγει δῶρον τὸν παῖδα, σὺ δὲ νῦν οὐ θεῷ ἀλλ' ἡμῖν ὁ παῖς τὸν πατέρα στέλλεις δῶρον ἐξαίρετον τὸν νῦν τὸν ὀξὺν, τὴν πολιὰν τὴν αἰδέσιμον, τὸν ὑπὲρ πάντα φιλούμενον, τὸν αὐτὸν ἐπιστολὴν καὶ ἀποστολὴν καὶ βιβλιαφόρον ὁμῦ χρηματίζοντα· τάχα δέ που καὶ Ἀβραὰμ πολλῷ κατά γε τῦτο νικᾷς. Ὁ μὲν γὰρ θεῷ μόλις πολλὰ πρὸς τῦτο συνωθηθεὶς τὸν παῖδα προςήγαγε δῶρον· σὺ δὲ τὸν πατέρα τοῖς οἵοις ἡμῖν ἐθελέσιος· τοιαύτας ἡμῖν αὐτὸς αὐτόθεν ἐπιστολὰς καὶ ἐπίστελλε καὶ ἀπόστελλε. Ἄλλοι δὲ χρηματόψυχοι ἄνθρωποι, ὁ μὲν αὐτόθεν αὐτῷ ἐχεπευκῆ [1]) σταλῆναι ζητείτω γραφὴν, ὁ δὲ μαχαιρίδας ἃς Θετταλῶν μαχαιροποιῶν περιδεξίως χεῖρες ἀσκοῦσιν, ἅτερος δὲ μύωπας ἱπποκέντορας ἢ ἀστράβας ἢ ἕτερόν τι τῶν ἐκ Θετταλίας καλῶν, ὡς ὁ χρησμός πε φησι·

Ἵπποι Θετταλικαὶ, λακεδαιμόνιαι δὲ γυναῖκες,
Ἄνδρες δ' οἳ πίνεσιν ὕδωρ καλῆς [2]) Ἀρεθέσης.

Τοιαῦτα μὲν αἰτείτωσαν χρηματόψυχοι· ἐγὼ δὲ ἐδὲν τέτων αἰτήσω, ὅτε μὴν Θετταλικὴν ἵππον ὅτε λακεδαιμονίαν γυναῖκα, ἃς δ' ἔφην ἀποστολὰς κρείττες ἐμοὶ καὶ τῦ Κυρηναικῦ πολυθρυλλήτε Σιλφίε. Ὡς ἐξ ἡμῶν κατάσπασαι τὸν κύριον Θεόδωρον, προςαγορευθήτω καὶ εἴ τις τῶν ὑμετέρων ὑμῖν γνώριμος καὶ ὁ σὸς οἰκέτης Εὐστράτιος ὁ συντομώτερος καὶ ταχινώτερος Κελλέρε [3]) καὶ Ἰφίκλε, φρονιμώτερος δὲ Ὀδυσσέως καὶ Νέστορος, μνημονέστερος δὲ Ἰσοκράτες τῦ ῥήτορος καὶ Δημητρίε τῦ Φαληρέως καὶ εἴ τις τέτων ἐφεύρηται μνημονέστερος, προςαγορευθήτω διὰ τῆς σῆς ὡς πρὸς ἡμᾶς [4]) καλλίστης ἀγάπης, καὶ ὁ τῦ Θεσσαλονίκης κύριος Κωνσταντῖνος. Ὁ τῆς εἰρήνης θεὸς τηροίη ὑμᾶς ἀλύπους χαίροντας ὑγιαίνοντας καλῶς τὰς ἀνὰ χεῖρας ὑμῖν δελείας ἀνύοντας.

ξβ. ΑΠΑΙΔΕΥΤΟΥ [5]) ΠΑΤΡΙ.

Οὐ βέλομαί δι' ἀβελτηρίαν υἱῦ πατέρα λυπεῖν· σωφρόνιζε ἂν σὺ [6]) τὸν υἱὸν, εἰ τῷ ὄντι πατήρ.

---

1) AB Schol.: Ἐχεπευκῆ — δριμεῖα λέξις, ἤτοι πευκι..ὰς ἀπαιτῦσας (παιτῦσας B, πεύ..κια ἀ..παιτῦσας A).

2) B καλλῆς.

3) Conieci Κυλλάρου, sed lectio Κελλέρου explicatur in Chil. IX, hist. 293. Latina vox *celeres* a cello derivatur; *celeres* autem vox antiquissima Patriciorum et equitum, nec non praetorianorum.

4) A ὑμᾶς.

5) A ἀπαιδεύτῳ.

6) A om. σύ.

ξγ. ΤΙΝΙ ΔΙΑΒΟΛΕΙ [1]).

Ὁ Μῶμος πανθ' [2]) ὁρῶν ἑαυτὸν οὐχ ὁρᾷ.

ξδ. ΤΙΝΙ ΜΩΜΟΣΚΟΠΩΙ [3]).

Σὺ μὲν τὰς ἐμὰς φαλλαίνας [4]) ἐμέμψω· σὲς δὲ σοφὲς Τηλέφους νενόμικας.

ξε. ΤΩΙ ΤΡΙΦΥΛΗΙ [5]).

Ἀπέκλεισας ἡμῖν τὲς ἐπιστολιμαίες νειλῴες σε ῥύακας, ἐφίμωσας ὅσον ἐφ' ἡμᾶς γλῶσσαν τὴν λαλιστέραν τεττίγων καὶ ἀττικὴν ἁπανταχῦ καὶ πρὸς ἅπαντας ὑπὲρ ὠκεανὸν πελαγίζων τοῖς καθ' ἑκάστην σε γράμμασιν. Ἔνθεν τοι καὶ ἡμεῖς σιωπήσαιμεν [6]) τὰ πρὸς σέ. Ὑπεροψίαν γὰρ πρὸς ἡμᾶς τῦτο ὑπετοπάσαμεν. Ἔῤῥωσο· ὑπερόπτα φιλίας θεσμῶν διὰ μικρὸν τι δοξάριον.

ξς. ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΔΡΙΣΤΡΑΣ [7]).

Τί εἴπω καὶ τί λαλήσω, θειότατε δέσποτα, ἢ τίνα γραφὴν ἐγχαράξω τῇ σῇ ἁγιότητι ἐπὶ τῇ συμπεσέσῃ σοι συμφορᾷ. Ὡς εἰς ἀκοὰς ἐδεξάμην τὸν λόγον, ὡς τὴν ἀποφράδα ταύτην καὶ ἔκφυλον ἠνωτισάμην φωνὴν, ἀπαράγραπτον μάρτυρα τῦ λόγυ προβάλλομαι τὴν ἀλήθειαν, ὅτι ὥςπερ τινὶ τυφωνικῷ βεβλημένος τῷ πνεύματι κατασέσεισμαι τοῦ λογισμοῦ τὴν ἀκρόπολιν, τὲς τῆς καρδίας ἐῤῥάγην προβόλες, τὸ τῆς ψυχῆς ἐπορθήθην ἀνάκτορον καὶ σιδηροδετηθεὶς τῷ βάρει τῆς λύπης ὅλος ἀπήχθην αἰχμάλωτος στρυφνῇ δεσποίνῃ τῇ συμφορᾷ καὶ ἀμειδὲς ἑλκύσῃ τὸ ἐπισκύνιον. Ἦ γὰρ ἐκ εἰκὸς ἦν τοιέτῳ με γενέσθαι κατόχιμον πάθει καὶ ὅλως εἰπεῖν ἀχανῆ καὶ ἐμβρόντητον ἠνωτισμένον ἐκείνην ἣν ἀπέστερξα πικρὰν ἀκοὴν, ὅτι Δάμαλις ἐκ Βασὰν παροιστρήσασα λέοντες ὠρνόμενοι [8]) λύκοι οὐκ Ἀραβίας ἀλλὰ παρίστριοι, μοῖρα Σκυθῶν ἀποδάσμιος, γένος ἔκσπονδον σκλάβον καὶ βάρβαρον ἠγριωμένον δεινῶς εἰς ἀσπλαγχνίαν, ὑπεραῖρον θηρίον ὠμότητι [9]), τὸν ἐμὸν δεσπότην τὸν ἀρχιερέα σε κατασχόντες, ὡς

1) Cf. Hist. 297.
2) B πάντα.
3) Cf. Hist. 298 et 299.
4) In Chil. vulg. φάλαινα, sed AB φάλλαινα.
5) Cf. Hist. 300. 301. 302.
6) B σιωπήσομεν.
7) Cf. Hist. 303 usque ad Hist. 314.
8) B ὠρυόμενοι.
9) B θηρίων ὠμότητα.

ἱερεῖον, ὡς θῦμα, ὡς ἄρνα εἷλκον ἐπὶ σφαγὰν ἄνομον, ἐςρέβλȣν, ἐδέσμȣν, ἀνήρτων [1]) ἐπὶ τȣ̃ ξύλȣ μετέωρον, κατέξαινον ἀνηλεῶς ἠλεημένον σαρκίον ταῖς ἐξ ἀνθρώπων πληγαῖς, ἀπαγαγόντες ἐπὶ τὴν τȣ̃ κλαυθμῶνος κοιλάδα ἢ τῶν αἱμάτων τὴν φάραγγα, ἐφ' ἣν δρόσος μὴ ἐπιπέσοι ὡς ἐπὶ τὰ ὄρη τὰ Γελβȣὲ ἃ κεκατήρανται ὅτι ȣ̓κ ἐμυκήσατο καὶ ȣ̓κ ἔῤῥηξε φωνὴν καὶ ἐτάκησαν ἀπὸ τȣ̃ φόβȣ οἱ ἀλάςορες, ὅτι ȣ̓κ ἤνοιξεν ὡς Ἅιδης τὸ στόμα αὐτῆς καὶ κατέπιεν αὐτȣ̀ς ὑπὲρ Δαθὰν καὶ Ἀβειρών. Ἀλλὰ χάρις τῷ πάντα σαφῶς κυβερνῶντι καὶ διεξάγοντι, ὃς ἤκȣσε τȣ̃ κλαυθμȣ̃ τῆς δεήσεώς σου καὶ ἐῤῥύσατό σε ἐξ Ἅιδου κατωτάτου ἀπὸ ἀνδρῶν ἀδίκων καὶ δολίων, χάρις τῷ εἰκόνα ἑαυτȣ̃ σε θέσθαι καταξιώσαντι καὶ τῶν αὐτοῦ παθημάτων δράσαντι κοινωνόν. Ἂν δ' ἀθυμίας βάλλῃ σε νέφος πρὸς νȣ̃ν τὰ δεινὰ λογιζόμενον, χαῖρε τȣ̃ μεγέθȣς μιμνησκόμενος τῆς εἰκόνος ἧςπερ ἠξίωσαι, ἀρχιερεὺς τȣ̃ μεγάλȣ ἀρχιερέως, δȣ̃λος δεσπότȣ θεȣ̃ ἀνθρωπος. Ἃ γὰρ ἐκεῖνος δι' ἡμᾶς ἑκὼν κατεδέξατο, τȣ́των καὶ ἄκοντα μιμητήν σε εἰργάσατο ἢ συγχωρήσας ἢ εὐδοκήσας. Χαῖρε ȣ̓̃ν διὰ ταῦτα καὶ μὴ ἀθύμει, ὦ τῷ ὄντι θεȣ̃ μιμητὰ, τȣ̃τον μόνον πάρες μιμήσασθαι, μὴ εἴπῃς· Πάρες αὐτοῖς τὴν ἁμαρτίαν, ὡς ὁ δεσπότης μηδ' ὡς ὁ τῶν ἀποστόλων διάκονος Στέφανος, εὔχȣ δὲ αὐτοῖς εὐχὴν προςφυᾶ· λεπτυνεῖ καὶ λικμήσει κύριος αὐτοὺς καιρῷ δεκτῷ, ἐξάξει αὐτοὺς εἰς γῆν ἄνυδρον, ἐπάξει ἐπ' αὐτȣ̀ς κακά. Γενέσθωσαν αἱ κῶμαι αὐτῶν ἐπαύλεις, διαβήσονται δεδεμένοι χειροπέδαις ἐν ὁδῷ, ᾗ ȣ̓κ ἔγνωσαν, καὶ τρίβοις, ἃς ȣ̓κ ᾔδεισαν· ἐπάξει ἐπ' αὐτȣ̀ς ταλαιπωρίαν, τὸ κόνδυ τȣ̃ θυμȣ̃ ἐκπίωνται [2]) καὶ ἐκκενώσουσιν αὐτό· καταβήτωσαν εἰς Ἅιδου ζῶντες, ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. Ταῦτα μέν σοι ἐπεύχεσθαι δέον, ἁγιώτατε δέσποτα· εἰ δ' ὡς τῷ ὄντι ἀρχιερεὺς αὐτὸς ȣ̓κ ἐθέλεις τοιαῦτα ἐπεύχεσθαι, ἀλλ' ȣ̓̃ν ἐγὼ ἐπεύχομαι τοῖς ἀλάστορσιν. Ἐπὶ πᾶσι δὲ τοῖς λοιποῖς οἷς ἀφῃρέθης οἶδα τὸ σὸν μεγαλόψυχον, ὅτι τὰ τȣ̃ Ἰὼβ ῥήματα φθέγξῃ· Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μȣ, γυμνὸς καὶ ἀπελεύσομαι. Μαντεύομαι δέ σοι ὅτι καὶ τὰ μετὰ ταῦτα κρείττω τῶν τοῦ Ἰὼβ σοι ἐπισυμβήσεται. Διὰ τῆς παρούσης γραφῆς προςκυνεῖ καὶ κατασπάζεται τὴν ἁγιωσύνην σȣ ἥ τε ἐμὴ ἀδελφότης καὶ πᾶν τὸ φίλον καὶ γνώριμον, προςκυνεῖ δὲ αὐτὴν ἕως ἐδάφους καὶ ὁ Δημητρίτζης νεκρῶν κευθμῶνα καὶ σκότȣ πύλας λιπὼν καὶ ζῶν μέχρι τῆς σήμερον, ἥτις ἐστὶν ἐννακαιδεκάτη τȣ̃ Ἰȣλίȣ μηνός. Ἐγὼ δὲ ἤδη ἑπτακαιδεκάτην ἔχων πυρετῷ δια-

---

1) A ἀνήρτουν.
2) B ἐκπίονται.

κανεῖ συνεχόμενος ταύτην ἐχάραξα ἐπιστολὴν ἐκ ὀλίγα σημεῖα πυρέττοντος τοῖς γράμμασιν ἐπιφέρουσαν, ὡς ἐνατενίσας αὐτοῖς νοήσαις[1]) τε καὶ εὑρήσειας· ἄλλα γὰρ ἀντ' ἄλλων ἔγραψα γράμματα. Ὁ δὲ θεὸς τῆς εἰρήνης καὶ ἡ ἁγία εὐχή σε ἡμῖν γενήσεται εἰς βοήθειαν· ἀξιωθείην δὲ καὶ τὴν σὴν ἐμοὶ πασῶν γλυκυτάτην μορφὴν ἰδεῖν τε καὶ κατασπάσασθαι. Προςαγορεύω καὶ προςκυνῶ διὰ τῆς παρέσης γραφῆς πάντας τὲς σὺν τῇ ἁγιωσύνῃ σε ὄντας.

ξζ. ΤΩΙ ΗΛΙΟΠΩΛΑΩΙ[2]).

Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ πρὸς τὸν στρατάρχην ἐκεῖνόν φησι Μωυσέα ὁ παλαιὸς Ἰσραήλ· Ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῷ ἐρήμῳ· παρὰ τὸ μὴ εἶναι τοῖς καθ' ὑμᾶς μελαγχίτωσι κατὰ τὴν Μεγαλόπολιν διαρκῆ πόρον βιώσιμον παρὰ Θεσσαλονίκην καὶ τὰ Παιόνων ἐξέδραμες ὅρια. Οὐκ ἔστι τῦτο, ὑκ ἔστιν· ἀλλ' ἔρως σε τὴν καρδίαν κατέσχεν οἶμαι διάπυρος, Ἡροδότου τῶν ἐγκωμίων ἀκούσαντος τὰς καθ' Ἡσίοδον πυγοστόλους ἰδεῖν θυγατέρας Παιόνων, ἢ τὰς κατὰ τὸν χρυσόγλωττον Ὅμηρον πλέον πυγὺς ἀεθλοφόρυς, αἳ ἀέθλια πυγαῖς ἄροντο[3]). Ἠ γὰρ καὶ σὺ κατὰ τὸν δεῖνα τὸν πρὶν ὑπεσπανισμένον πολλῶν οὐκ ἂν ἐνταῦθα[4]) διάγων ἁβροβίως διέζης ὥςπερ ἐκεῖνος τανῦν, ὃν πρὶν οὕτω κατεσκελετισμένον ἄκρης Ἰεζεκιὴλ κατιδὼν καὶ τὰ ὀστᾶ τῆς ἐῤῥικνωμένης ἐκείνης καὶ γηραλέας αὐτῦ ἡμιόνυ τῆς ἀκροσφαλῦς καὶ μόλις δεδυνημένης βαδίζειν, ὁπότε περὶ τὸ μέγα ἐκεῖνο πεδίον τὰς τῶν ὀστῶν ἑώρα σωρείας καὶ τῆς φρικώδυς ἐκείνης φωνῆς κατήκοος γέγονεν. Υἱὲ ἀνθρώπυ προφήτευσον ἐπὶ τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα, εἰ ἔλθοι[5]) πνεῦμα ἐπ' αὐτὰ καὶ ἀναβήσεται σὰρξ ἐπ' αὐτά, διάτορόν τι καὶ γεγωνὸς ἀνεβόησεν· εἰ ἐπὶ πάντα τὰ ὀστᾶ ἔλθοι[6]) πνεῦμα καὶ σὰρξ ἀνελεύσεται, ἀλλ' ἐπὶ τὸν σκελετὸν τυτονὶ καὶ ταυτηνὶ τὴν ἡμίονον ὐκ ἀνελεύσεται, κύριε, κύριε. Οὗτος ἂν ὁ τῷ προφήτῃ ἀπηλπισμένος εἰς τεκμήριον ἀκριβές τε καὶ ἀνενδοίαστον καὶ ἀραρός τε καὶ πάγιον τῆς ἐλπιζομένης ἡμῖν ἀναστάσεως ἐπαχύνθη καὶ ἐπλατύνθη ἡμιόνοις τε λιπῶσιν ὀχεῖται καὶ ὑψηλοῖς καὶ προπομπεύοντας ἔχει καὶ ἱκανὴν θεραπείαν καὶ ἁβρόβιον βίον ἀντλεῖ καὶ πρὸς

1) B νοήσεις.
2) Cf. Hist. 315 usque ad Hist. 321.
3) Hom. Il. IX, 123.
4) B ἐνταυθοῖ.
5) B ἔλθῃ.
6) B iterum ἔλθῃ.

τὴν βασιλέως δὲ θαμίζων αὐλὴν κατὰ τὸν Κυμαῖον ὄνον ἐκεῖνον τὸν τὴν λεοντὴν ἐνημμένον λεοντιᾷ καὶ τὲς ἐκλεκτὲς ἀπατᾷ λέων εἶναι δοκῶν καὶ οὐκ ὄνος λεοντικὴν ἠμφιεσμένος δοράν. Καί σοι γοῦν ἐνταυθοῖ διάγειν ἐθέλοντι ἐκ ἦν ἂν ἐδέν τι βιώσιμον ἐπιλείψοιμον [1]), ἀλλὰ ποθήσας ὁρᾶν ὥςπερ ἔφην καὶ πρὶν τὰς κατὰ Παιονίαν εὐπύγες γυναῖκας Θεσσαλονικεῦσιν ὅροις προςέδραμες παρεικῶς τὴν βασιλίδα τῶν πόλεων. Ἔῤῥωσο, προςηγορίας δὲ τῆς ἀφ' ἡμῶν [2]) τὲς εἰδότας ἡμᾶς πάντας ἀξίωσον.

ξη. ΤΩΙ ΚΥΡΙΩΙ ΚΥΡΙΩΤΑΤΩΙ ΤΩΙ ΚΟΤΕΡΤΖΗΙ [3]).

Ἐπιστολὴν ᾐτησάμην ἀλλ' ἐκ ἀποστολὴν, σὺ δὲ μελίπηκτον ἀλλ' οὐ μελέμβαφον ψαθαρὸν ἀπέσταλκας ἐπὶ πίνακος, ἀλλ' ἐκ ἐν χάρτῃ τὸ ἐπιστόλιον· ὅμως διαφορώτερον καὶ ἡδύτερον τἕτο τῆς ὑμετέρας ἧς ᾔτουν ἀποστολῆς.

ξθ. ΤΩΙ ΒΑΣΙΛΑΚΗΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ.

Καθώπλισας ἡμᾶς ταῖς μαχαίραις γλυκύτατέ μοι δέσποτα καὶ ἀνεψιέ· εἰ γὰρ καὶ ἡμῖν ὡς στρατιωτικώτεραι ἦσαν ἀρχήσιμοι, ἀλλ' ἔν ταύταις τὲς φίλες ὁπλίσαντες κατ' ἐχθρῶν σωματοφύλαξι τέτοις κεχρήμεθα· πλὴν ἀλλ' ἐδ' ἡμεῖς ἄμοιροι παντελῶς μαχαιρίδων ἐλείφθημεν. Κατέσχον γὰρ καὶ αὐτὸς τὴν τοὺς γραφικοὺς ἀπευθύνουσαν δόνακας καὶ τὰς τῷ Σεβαστῷ δὲ τῷ Καματηρῷ σταλείσας μαχαίρας χερσὶ τἒ ταύτας ἀποκομίσαντος παρεσχόμην παιδός· αὐτὸς γάρ ἐγὼ διά τινα περιπέτειαν τέτῳ τανῦν οὐ προςομιλῶ. Προςκυνῶ ἔν σε καὶ κατασπάζομαι διὰ τἒ παρόντος μἒ γράμματος καὶ ἐπεύχομαι ταχινώτερον πρός τε τὴν Μεγαλόπολιν καὶ τὰς τῆς αὐτόθι δελείας διενεργείας, ὡς [4]) ἀναστρέφοντα βλέπειν σε, χαρμονῆς τε καὶ ὑγείας ἀκραιφνεστάτης ἐπαπολαύοντα. Ταῦτα μὲν οὕτω· τὴν δὲ γραφήν σου ὡς πάρεργον οὐκ ἐθέμεθα, ὁλοχεροῦς δὲ φροντίδος ταύτης ἐχόμεθα.

---

1) A ἐπιλείψοιμον.

2) B ὡς ἀφ' ἡμῶν.

3) Idem Cotertzes, ad quem etiam epistola 102 data est, in fine indicis Chiliadum laudatur, quippe cuius hortatu Tzetzes Historiarum librum a librario foede corruptum emendaverit. Matranga suspicatur, hunc Cotertzem eundem esse, quem Jo. Cinnamus 49, 23. inter magnates recenset, et qui in bello persico a Manuele Comneno feliciter confecto excelluit.

4) B om. ὡς.

ΔΕΥΤΕΡΑ ΣΥΝΑΓΩΓΗ ΤΙΝΩΝ ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΠΙΣΤΟΛΩΝ.

[Τὴν γὰρ προτέραν τήν τε σχεδίαν καὶ ἀνακάθαρσιν χρηστός τις ἀφελόμενος ἄνθρωπος τὴν μὲν ἠφάνισε παντελῶς τὴν δὲ παρέφθειρέ τε καὶ ἄλλην ἄλλως συνέθετο.]

ο. ΤΩΙ ΚΑΘΗΓΟΥΜΕΝΩΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ ΜΟΝΗΣ ΚΥΡΙΩΙ ΙΩΣΗΦ [1]).

Ἀλεξάνδρῳ ποτὲ τῶν Μακεδόνων τῷ βασιλεῖ παραδραμόντι [2]) καιρὸν καὶ μεταμέλου πεῖραν λαβόντι παρὼν ἐκεῖνος ὁ πλάστης ὁ Λύσιππος, Σικυώνιος δ' ἦν ὁ ἀνὴρ, θειότατε δέσποτα, ὡς ὅτ' ἀκίνδυνον ἑώρα τὸν βασιλέα ἐλέγχειν, οὔτε μὴν πάντη ἀζήμιον τὸ μὴ τὴν ἑτέρων διαμαρτίαν ἑτέροις ποιεῖσθαι διδάσκαλον, τὴν ἀμφοτέρων κακίαν ἐκπεφευγὼς σοφῶς ἀμφότερα ἔδρασεν. Ἐν εἰκόνι καὶ γὰρ τὸν χρόνον ἀγαλματώσας τόν τε βασιλέα τῷ μὴ δοκεῖν ἐλέγχειν κοσμίως ἐξήλεγξε καὶ τῷ κοινῷ τῶν ἀνθρώπων πρακτικὴν τῷ λοιπῷ τὴν εἰκόνα παραίνεσιν καταλέλοιπεν. Ἔχει δὲ ὡτωσὶ τὸ εἰκόνισμα. Ἄνθρωπός τις ὁ Χρόνος ἐκείνῳ δεδημιούργηται προκόμιον ἔχων βραχὺ, τὰ δ' ἄλλα ὀπισθοφάλακρος καὶ κωφὸς ἱκανῶς, ὡς ἔστιν εἰκάσαι, καὶ γυμνός ἐστιν ὡς διολισθαίνων καὶ ἀναφής· βέβηκε δὲ ἐπὶ σφαίρας εὐδρόμου τινὸς μεταριπτάζων [3]) αὐτοῦ τοῖς ποσὶν ἐκείνην ὀξυκινήτως, ὡς ἡ τῶν ποδῶν ὑπαινίττεται πτέρωσις. Ἐκείνου δὲ κατόπιν ἕτερος δεδημιούργηται ἄνθρωπος εὐτόνῳ κεχρημένος βαδίσματι, χεῖρά τε ἰδίαν ἐκτείνων, ἐκεῖνον ὡς συλληψόμενος καὶ τοῦτον μετακαλούμενος, ὡς τὸ ἀνεσπασμένον αὐτοῦ τῶν χειλέων δηλοῖ· ὁ δὲ παρέρχεταί τε [4]) καὶ οἴχεται καὶ κωφεύων οὐκ ἐπαίει, μάχαιραν δὲ ὀρέγει πρὸς τὸ κατόπιν ἐπανατείνων τὴν χεῖρα, καταχαρδίους πληγὰς αἰνιττόμενος, αἵπερ ἐγγίνονται τοῖς χρόνου καθυστερίζουσιν. Οὕτω πως σοφῶς ὁ Λύσιππος ἐνουθέτησε μὴ καθυστερίζειν καιροῦ, τοιαύτῃ τὸν Χρόνον ἀναστηλώσας γραφῇ, κἂν ἀκαιρηγοροῦντες δοκησίαι τινὲς ἀκρίτως εἶναι βίου ταύτην παραληρῶσιν εἰκόνισμα, μὴ συνιέντες ὡς πολλοὶ μὲν κἀκ τῶν κατόπιν βίον κατέσχον, οὐδένες ὄντες τὸ πρότερον, εἴτε μέτρια ἔχοντες· χρόνον δὲ παροιχόμενον καὶ τὰ προ-

1) Cf. Hist. 322. 323. 324.
2) In Chil. legitur ἐπιδραμόντι.
3) B μεταῤῥιπτάζων.
4) A om. τε.

τέρῳ χρόνῳ πραχθέντα καὶ θεῷ μεταποιῆσαι ἀδύνατον. Ὅθεν καὶ ὁ Λυσίτης, Τίς ἄν με θείη κατὰ μῆνα τῶν πρίν, ἔλεγεν, ἡμερῶν ἀλλ' οὐ κατὰ βίον ἢ πλῦτον τὸν πρίν· βίον γὰρ κρείττω κἀκεῖνος ἐςύςερον εὗρε, χρόνον δὲ τὸν πρὶν ὐδαμῶς. Τοιαῦτα μὲν ἡ ἐκ τῆς εἰκόνος τῆς Λυσιππείας παραίνεσις ἡ περὶ τῦ μὴ καθυστερίζειν χρόνε τῦ δέοντος, ἧς τῷ ἐπιτιμίῳ ἕτεροι ἔνοχοι ὄντες ὕστερον οἶδ' ὅτι ἐκτὸς ἡμᾶς καθεστηκότας αἰτίας τῆς οἵας δή τινος ὑπαιτίες ποιήσονται θειότατε δέσποτα· ἀναίτιος γὰρ πρὸς τὰς τοιαύτας παραδρομὰς καὶ Τζέτζης καὶ Λύσιππος, ὁ μὲν ἅπαξ ἀναστηλώσας τὸ ἄγαλμα, ἐγὼ δὲ ἐκ ὀλιγάκις ταῦτα πολλοῖς νουθετῶν.

οα. ΤΩΙ ΜΕΓΑΛΟΕΠΙΦΑΝΕΣΤΑΤΩΙ ΑΝΑΓΡΑΦΕΙ ΤΩΝ ΕΠΙΣΚΕΨΕΩΝ ΤΟΥ ΑΝΤΙΦΩΝΗΤΟΥ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΙΣΜΗΝΙΩΤΗΙ [1]).

Ὁμήρῳ μὲν ἐκ οἶδ' ὅπως δόξαν, ὦ κυδήεσσα κεφαλή, ὦ χρυσοῦ γένες ἀπόμοιρα, ὦ τῶν Ἑρμῦ καὶ Μέσαις τροφίμων τὸ σεμνολόγημα, οἱ Κερκυραῖοι Φαίακες ἁπάντων ἀνδρῶν ἐκρίθησαν ναυτικώτατοι [2]), αἱ Φαιακίδες δὲ τοῖς ἔπεσι τὔτε τεθρύλληνται ἱστὲς τεχνῆσαι [3])

Οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον [4]).

Ταῦτα περί τε Φαιάκων καὶ Φαιακίδων Ὁμήρῳ δοκεῖ· ἐκ οἶδα δὲ ὅτε ἄρα τὰς Θηβαίων γυναῖκας αἵςπερ τῦτο τὸ ἔπος ἦν συμπρεπὲς καὶ κατάλληλον τοιέτων ἐστέρησε ἐγκωμίων, τοιαύτης τιμῆς ἀπεξένωσεν· εἴτ' ἄρα δεινότητι ῥήτορος ἰσχὺν τρέφοντος ἄφατον τὸν ἥττω λόγον γυμνάζων, εἴτε τῷ τοῦ [5]) Λαέρτου ἐκείνῳ παιδὶ χαριζόμενος, ἀνθ' ὧν ἐκεῖνον οἱ Φαίακες μεγαλοπρεπῶς ὑπεδέξαντο. Ταῦτα μὲν εἴτε σπονδαὶ Ὁμήρε ἢ παίγνια, ἐγὼ δὲ ἐκ οἶδα τίνας τῶν ὅθεν δήποτε γυναικῶν ἀντιπαραθείην πρὸς ἱστεργίαν ταῖς Θήβαισιν, εἰ μὴ ἄρα τῶν ἁπασῶν ὑπερθείην ἐκείνας. Καείρας μὲν γὰρ καὶ τὰς ἐκ Μηόνων γυναῖκας χρωματεργεῖν εὐφυῶς τὰς βαφὰς περιθρυλλοῦσιν οἱ λόγοι· τὰς Μιλησίων δέ με διδάσκουσι περὶ στρωμνῶν ἐργασίας κερκίδα κινεῖν δεξιῶς, ἐγὼ δὲ τὰς Θηβαίων ὡς ἄρα ἐμαυτὸν πείθω, πείθω δὲ οὐ κακῶς, πρὸς ἱστεργίαν τῶν ἁπασῶν ὑπεραίρω καὶ τὸν χρησμὸν αἰτιῶμαι εἰπόντα·

---

1) Cf. Hist. 325 usque ad Hist. 333. — Cangius Gl. gr. App. pag. 20. legit τῆς ἐπισκήψεως.

2) AB Schol.: Εἶδον τὸ ὕφος, κερκίδος ἔργον Θηβαικῆς — αἴτινος ἱστεργικὰς εἶναι τὰς γυναικὰς Θηβαίων.

3) Suprascriptum in AB τεχνῦσαι.

4) Odyss. VII, 106 seq.

5) A om. artic. τῦ.

Ἵπποι Θρῄκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες,
Ἄνδρες δ' οἳ πίνεσιν ὕδωρ καλῆς Ἀρεθέσης,

ὅτι μὴ καὶ Θηβαΐδας τῷ λόγῳ προςέθετο πρωτεῖα φερούσας τοῖς ἱστοπόνοις τεχνήμασιν ἁπασῶν. Ἀπέλαβον γάρ σε τὴν χάριν, ἐδεξάμην τὴν δωρεὰν, εἶδον τὸ ὕφος κερκίδος ἔργον Θηβαϊκῆς, ἐτεθήπειν τὸ κάλλος, ἡγησάμην τὸν τεχνουργὸν, ὁρῶν ἐκεκμήκειν τὰς [1]) τῶν ὀμμάτων βολὰς, κόρον δὲ σχεῖν ἐδαμῶς εἶχον τῆς θέας. Ἀργυρόχρεν ἦν τὸ χρῶμα τοῦ ὕφες, ᾧ τῶν ἄλλων χρωμάτων αὐτὸς ἐπιγάννυμαι, ἡδὺ τὴν θέαν, μαλακὸν τὴν ἁφὴν, χρυσόσημον ἦν, καθὸ μέρος τὰς χεῖρας [2]) εἰώθαμεν ἐξαρτᾷν, πυκνὸν ἦν, λεῖον ἦν, στεῤῥὸν ἦν, ὑπερβηματίζον τὴν κλῆσιν καὶ παρατρέχον τε ὅπερ ὕφες ἐκέκλητο καὶ τοῖς ἐκ μίτων ἑξαδικῶν συντεθειμένοις ἀντήριζε· τῇ δὲ στιλπνότητι τῇ ἐκ πυκνότητός τε καὶ τῆς λειότητος λαμπρῶν ἐνόπτρων πλέον ἀπέλαμπε. Τοιαῦτα μὲν τὰ ἐν Θήβαις καὶ ἐκ Θηβῶν ἱστεργήματα, ὡς ἔοικε, τε [3]) Ἰσμηνε ποταμε καλλυνόμενα ῥεύμασιν. Εἰ δὲ τὸ πρώην εἷς ἄψυχος Ἰσμηνὸς καταῤῥέων τὰς Θήβας τοιαύτας αὐταῖς ἐχαρίζετο χάριτας, ποίων πάλιν καλῶν οὐ μετάσχοιεν [4]) αὗται, ποῖον πάλιν οὐ χρυσοπήληκα στάχυν βλαστήσαιεν προςλαβεσαι καί σε τὸν δεύτερον Ἰσμηνὸν [5]), τὸν λογικὲς μελισταγεῖς καταῤῥέοντα ῥύακας τῇ παραῤῥοῇ κελαρύζοντας γλυκύ τι καὶ ἐναρμόνιον. Τοιετον ἐγὼ δεξάμενος δῶρον τῆς σῆς εὐγενοῦς αὐθεντίας πολλῷ τὸ Συλοσῶντος [6]) ὑπεραῖρον ὕφος ἐκεῖνο, ὃ πυῤῥὸν μὲν ἦν τὴν χροιὰν, Δαρείῳ δὲ τῷ Πέρσῃ παρὰ Βαβυλῶνα τοῦτο χαρίζεται Συλοσῶν [7]) ἔτι ἰδιωτεύων ἰδιωτεύοντι. Οἶσθα δὲ ἄρα τὸν Συλοσῶντα ἐξ Ἡροδότε ἀκέων, ὡς Πολυκράτες ἦν ἀδελφὸς τε Σαμίε, ἐκ ἔχων ἀποτίσαι σοι τὴν ἀμοιβὴν ἰσαξίαν. Οὐδὲ γὰρ ὡς ὁ [8]) Δαρεῖος ἐκεῖνος περσικῆς ἀρχῆς ἐγκρατὴς ἐγενόμην, ἐδ' ἄρα σὺ Συλοσῶν ὥστε Σαμίων ἀρχὴν ἐγχειρίσαι σοι· εὐχαῖς ἠμειψάμην τε

---

1) B om. artic. τάς.

2) B χειρίδας.

3) B τοῖς Ἰσμ.

4) AB Schol.: Οὐ μετάσχοιεν· Μετάσχοιεν, προπαροξυτόνως· μὴ μέντοι προπερισπωμένως μετασχοῖεν· ὡς ἀναβοῖεν ἢ καταβοῖεν· τέτων γὰρ ἡ μετοχὴ ἦν εἰς σλῇ· (sic) ἀναβὰς, καταβάς· τε μετάσχοιε δὲ ἡ μετοχὴ, ὁ μετασχὼν, εἰς γ λήγει, ἀλλ' ἐκ εἰς σ· ὅθε πρόσχωμεν λέγεις προπαροξυτόνως, ἀναβῶμεν δὲ καὶ καταβῶμεν, προπερισπωμένως.

5) Alludunt haec ad nomen Joannis Ismeniotae, ad quem epistola data est, et ad Eurip. Phoeniss. vs. 946.

6) A Σολομῶντος.

7) A συλοσσῶν et sic etiam infra. Cf. Herod. III, 139 seq.

8) B om. artic. ὁ.

καὶ ἀμείβομαι ποτνιώμενος ἐπηρειῶν ἁπασῶν καὶ δυςχερῶν σε τῶν ὅθεν καὶ ὅπως δήποτε συντηρεῖσθαι ἀνώτερον, ὑγιᾶ τε καὶ εὐθηνούμενον καὶ εὐωρίας ἐπαπολαύοντα πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαυτῶν.

οβ. ΤΩΙ ΥΙΩΙ ΤΟΥ ΚΟΣΤΟΜΥΡΗ ΘΕΟΔΩΡΩΙ [1]).

Δεινὸν τὸ πάθος μεγάλην ἀνυπερβλήτως ἔχον τὴν συμφοράν, πυρκαιὰν ἀνήφαιστόν τε καὶ ἄξυλον ἐδεξάμην πιμπρῶσαν ἐμοῦ τὴν καρδίαν ἀφλόγως πάθος τοιοῦτον, ὦ τέκνον, ἐνωτισάμενος ἀγγελίαν πικρὰν καὶ ἀπαίσιον ἢ μὴ ὤφελλε [2]) γενέσθαι. Κεῖται γὰρ ὡς ἡ ἀποφρὰς ἡμῖν ἐδήλωσεν ἀκοὴ πατὴρ ὁ σός, ἐκεῖνο τοῦ γένους τὸ σεμνολόγημα, ἡ τῶν φίλων κρηπίς, ἡ τῶν ὁρώντων αἰδώς, ὃς ἦν ἀκραιφνὴς νόμος φιλίας, ὃς μείλιχος ἦν, ὃς ἡδύς, ὃς ἱλαρός, ὃς ἀρχικῶς τὰς ἃς διεῖπεν ἀνύων ἀρχὰς κατεφαίνετο, ὃν Μουσῶν χορὸς ἐξεθρέψατο, Χάριτες δὲ παντοίων καλῶν ἐμαιεύσαντο. Τοιοῦτον ὦ γῆ καὶ ἥλιε ἄνδρα πεσόντα ἐνωτισάμενος οὐκ εἶχον ὅπως κατάσχω τὸ πάθος, ὅπως τὴν ἀχθηδόνα κουφίσω τοῦ πένθους. Εἰ δ' ἡμῖν ξένοις μὲν οὖσι τοῦ γένους, φιλίας δὲ μόνον συνδεδεμένοις δεσμῷ τοιοῦτο πάθος ἐξ ἀκοῆς καὶ μόνης ἐγένετο, εἰ τοιαύτην πεσὼν ἐγκατέσκηψε [3]) συμφοράν, τίς ἄρα σὺ τέκνον αὐτὸς εἴης τοιούτου πατρὸς στερηθεὶς καὶ πρὸς τῷ μηδὲ τὴν ἐνεγκαμένην καὶ τὴν μητέρα καὶ ὅσον ἐν φίλοις ἐστὶν ἐᾶσθαι ἰδεῖν, μηδ' ἔχων ἐν ἀλλοτρίᾳ τῇ γῇ ἐλευθέρῳ βαδίζειν ποδί, ἀλλὰ τελῶν ἐγκατάσχετός τε καὶ ἔμφρουρος πάντως, εἰ καὶ σιδήρου χάλυβος εἶχες ψυχήν, κατεσείσθης ἂν τοῦ λογισμοῦ τὴν ἀκρόπολιν καὶ τῷ βάθει τοῦ πένθους ἐγκατακέκρυψο. Ἐπεὶ δὲ σαρκὸς καὶ αἵματος ἐλοχεύθης, φαντάζομαί τε καὶ οἴομαι τῷ νοΐ, πῶς ἄρα καιρίαν ἐδέξω πληγήν, πῶς κατεσείσθης τοὺς τῆς ψυχῆς σου προβόλους καὶ καταπέπτωκας διχοτομηθεὶς ἀθρόον τοιούτου πατρὸς ἢ καὶ πρόῤῥιζος ἀκαριαίως πεσών. Τοιαύτῃ μὲν οἶδα κάτοχος ἐγεγόνεις τῇ συμφορᾷ τοῦ φύσαντος ἀθρόως ἐρημωθείς, ἔρημος φίλων, ἔρημος ὢν συγγενῶν, τῆς ἐνεγκαμένης ἀπόδημος καὶ μηδ' ἐν ἐλευθέρῳ δυνάμενος βαδίζειν ποδί. Τοιαύτῃ μέν σε τῶν συμφορῶν περιεστοίχισε θάλασσα· ἀλλ' ὅμως ἐπεὶ καὶ θεῖόν τι χρίσμα ψυχὴν λογικὴν ἐσχήκαμεν ἄνθρωποι καὶ δι' αὐτῆς τὸ πᾶν λογιζόμεθά τε καὶ κρίνομεν, ὡς τοιαυτὶ πέφυκε τὰ ἀνθρώπινα καὶ ὡς γῆς γεγονότα πρὸς γῆν ἀναλύεται, καὶ τὸ σύνθετον τὴν λύσιν φιλεῖ καὶ πρὸς τὸ συγ-

1) Cf. Hist. 334 usque ad Hist. 343,
2) A ὤφελε. Cf. Hom. Il. XVII, 686.
3) B κατέσκηψε.

γενὲς ἐπειγόμεθα, καὶ ὡς ἐδὲν γενητὸν [1]) ὃ οὐ φθαρήσεται, κἄνπερ τινὲς φυσικοὶ κομπηροτέρως ἐκκομψευόμενοι καὶ γενητόν τι διισχυρίζωνται δύνασθαι πρὸς ἀφθαρσίαν ἐληλακέναι, λόγισαι καὶ σὺ ταῦτα, εἰ καὶ παῖς τὴν ἡλικίαν τελεῖς, ἀλλ' ὅμως ὢν ἀγχινούστατος, ὅτι καί σοι θνητὸς ὁ πατὴρ καὶ φυσικοῖς ἦν θεσμοῖς ὑποκείμενος, καὶ τὸν σύνδεσμον ὅθεν ἔλαβε πάλιν ἀπέδωκε, καὶ πενθήσας ὅσον ἐχέφρων τις ἄνθρωπος καὶ τὴν τῶν πραγμάτων γινώσκων φορὰν, παύου λοιπὸν εἰσέτι πέραν τοῦ μετρίου θρηνεῖν καὶ τὸν ἀνυπόστολον κλύδωνα τῦ πένθυς κατάστελλε· εὐχαῖς δ' ἀποτίννυε τῷ κειμένῳ τὴν ἀμοιβὴν, ὡς τῶν ἐκεῖθεν ἀγαθῶν ἐπιτυχὴς γένοιτο καὶ τῆς τῶν σωζομένων μερίδος, οὗ ψυχαὶ δικαίων τυχεῖν ἐφιέμεναι καθεστήκασι. Τὰ τῇδε γὰρ πάντα κλαυθμῶνος πέδον, ἐγὼ δὲ καὶ κυβεῶνα καλῶ καὶ σφαιρικὴν φορὰν ἀστατοῦσαν πολύστροφον καὶ οὐδὲν κομπάζον καὶ τύφυ ἀνάπλεων [2]). Λῆγε ἕν, λῆγε τῦ πένθυς, παύε τῶν ἀμετρήτων δακρύων, ἀναρώννυε μὴ καταπίπτειν ὑπὸ τῦ πάθυς σαυτόν. Οὐ γὰρ μόνος ἢ πρῶτος ἐπεπόνθεις αὐτὸς ὃ πέπονθας, κοινὸν δὲ τῦτο πάσης χρέος τῆς φύσεως· ἔχεις αὐτόθι τὺς τὰ τοιαῦτα τρανῶς ἐνδιδάξοντας τύς σοι παρηγόρυς καὶ παρηγορησομένυς, ὡς χρή, οἷς συμπάρει, οἷς συνδιάγεις, οἷς τελεῖς ὁμόσκηνός τε καὶ ὁμοδίαιτος, τὺς τὴν ὄντως φημὶ φιλοσοφίαν ἀσκῦντας, τὺς τῷ θεῷ προσανέχοντας, οἳ πενθικῷ τρυχηρῷ μονοτροπέντων ἀμφίῳ θανατῦν καὶ νεκρῦν μελετῶσι τὴν σάρκα, δυλαγωγῦντες τῷ κρείττονι, ὓς σὺν σοὶ κατασπάζεται πάντας καὶ προσκυνεῖ ἡ καὶ μόλις αὕτη δυνηθεῖσα γραφῆναι γραφή μυ· ὅτι καθ' ἣν ὥραν ἔμελλεν ἐξελθεῖν πρὸς ὑμᾶς ὁ κομιστὴς τῶν γραμμάτων κατ' αὐτὴν μαθὼν ἐκ τῦ ἰατρῦ κυρίυ Ἰωάννυ τὴν τύτυ ἐξέλευσιν ἀποσχεδιάσαι μόλις αὐτὴν ἠδυνήθην. Ὁ τῆς εἰρήνης θεὸς ἡ αὐτοαγαλλίασα καὶ χαρὰ γένοιτό σοι τέκνον ποθύμενον παράκλησις ὁμῦ καὶ ἀνάκλησις.

ογ. ΤΩΙ ΒΑΣΙΛΙΑΚΗΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ [3]).

Μάτην ἡμᾶς ἀγραφίας, δέσποτα, αἰτιᾷ· ἡμεῖς γάρ, ὁ θεὸς οἶδε, συνεχεστέρως καὶ γράφομεν καὶ προσαγορεύομεν καὶ προσκυνῦμεν τὴν σὴν αὐθεντίαν· εἰ δ' ἄρα οἱ γραμματοκομισταὶ τὰς ἡμῶν γραφάς σοι οὐκ ἀποκομίζυσι [4]), κατ' ἐδὲν ἡμεῖς ἐσμὲν αἴτιοι, καὶ πρὸς σῆς κεφαλῆς μὴ ἀκρίτως λυπῦ καθ' ἡμῶν τῶν ἀναιτίων ὡς ὑπαιτίων ὁ διακριτικώτατος

1) B γεννητόν.
2) ἀνάπλεον legitur in Chil.
3) Cf. Hist. 344. 345. 346. 347.
4) In AB suprascriptum: διαποκομίζυσι.

καὶ ἀμείβομαι ποτνιώμενος ἐπηρειῶν ἁπασῶν καὶ δυςχερῶν σε τῶν ὅθεν καὶ ὅπως δήποτε συντηρεῖσθαι ἀνώτερον, ὑγιᾶ τε καὶ εὐθηνέμενον καὶ εὐωρίας ἐπαπολαύοντα πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαυτῶν.

οβ. ΤΩΙ ΥΙΩΙ ΤΟΥ ΚΟΣΤΟΜΥΡΗ ΘΕΟΔΩΡΩΙ [1]).

Δεινὸν τὸ πάθος μεγάλην ἀνυπερβλήτως ἔχον τὴν συμφορὰν, πυρκαιὰν ἀνήφαιστόν τε καὶ ἄξυλον ἐδεξάμην πιμπρῶσαν ἐμοῦ τὴν καρδίαν ἀφλόγως πάθος τοιοῦτον, ὦ τέκνον, ἐνωτισάμενος ἀγγελίαν πικρὰν καὶ ἀπαίσιον ἣ μὴ ὤφελλε [2]) γενέσθαι. Κεῖται γὰρ ὡς ἡ ἀποφρὰς ἡμῖν ἐδήλωσεν ἀκοὴ πατὴρ ὁ σὸς, ἐκεῖνο τȣ̃ γένȣς τὸ σεμνολόγημα, ἡ τῶν φίλων κρηπὶς, ἡ τῶν ὁρώντων αἰδὼς, ὅς ἦν ἀκραιφνὴς νόμος φιλίας, ὅς μείλιχος ἦν, ὅς ἡδὺς, ὅς ἱλαρὸς, ὅς ἀρχικῶς τὰς ἃς διεῖπεν ἀνύων ἀρχὰς κατεφαίνετο, ὃν Μουσῶν χορὸς ἐξεθρέψατο, Χάριτες δὲ παντοίων καλῶν ἐμαιεύσαντο. Τοιοῦτον ὦ γῆ καὶ ἥλιε ἄνδρα πεσόντα ἐνωτισάμενος οὐκ εἶχον ὅπως κατάσχω τὸ πάθος, ὅπως τὴν ἀχθηδόνα κεφίσω τȣ̃ πένθȣς. Εἰ δ' ἡμῖν ξένοις μὲν ȣ̃σι τȣ̃ γένȣς, φιλίας δὲ μόνον συνδεδεμένοις δεσμῷ τοιοῦτο πάθος ἐξ ἀκοῆς καὶ μόνης ἐγένετο, εἰ τοιαύτην πεσὼν ἐγκατέσκηψε [3]) συμφορὰν, τίς ἄρα σὺ τέκνον αὐτὸς εἴης τοιȣ́τε πατρὸς στερηθεὶς καὶ πρὸς τῷ μηδὲ τὴν ἐνεγκαμένην καὶ τὴν μητέρα καὶ ὅσον ἐν φίλοις ἐστὶν ἐᾶσθαι ἰδεῖν, μηδ' ἔχων ἐν ἀλλοτρίᾳ τῇ γῇ ἐλευθέρῳ βαδίζειν ποδὶ, ἀλλὰ τελῶν ἐγκατάσχετός τε καὶ ἔμφρουρος πάντως, εἰ καὶ σιδήρȣ χάλυβος εἶχες ψυχὴν, κατεσείσθης ἂν τȣ̃ λογισμȣ̃ τὴν ἀκρόπολιν καὶ τῷ βάθει τȣ̃ πένθȣς ἐγκατακέκρυψο. Ἐπεὶ δὲ σαρκὸς καὶ αἵματος ἐλοχεύθης, φαντάζομαί τε καὶ οἴομαι τῷ νοὶ, πῶς ἄρα καιρίαν ἐδέξω πληγὴν, πῶς κατεσείσθης τȣ̀ς τῆς ψυχῆς σε προβόλȣς καὶ καταπέπτωκας διχοτομηθεὶς ἀθρόον τοιȣ́τε πατρὸς ἢ καὶ πρόῤῥιζος ἀκαριαίως πεσών. Τοιαύτῃ μὲν οἶδα κάτοχος ἐγεγόνεις τῇ συμφορᾷ τοῦ φύσαντος ἀθρόως ἐρημωθεὶς, ἔρημος φίλων, ἔρημος ὢν συγγενῶν, τῆς ἐνεγκαμένης ἀπόδημος καὶ μηδ' ἐν ἐλευθέρῳ δυνάμενος βαδίζειν ποδί. Τοιαύτη μέν σε τῶν συμφορῶν περιεστοίχισε θάλασσα· ἀλλ' ὅμως ἐπεὶ καὶ θεῖόν τι χρίσμα ψυχὴν λογικὴν ἐσχήκαμεν ἄνθρωποι καὶ δι' αὐτῆς τὸ πᾶν λογιζόμεθά τε καὶ κρίνομεν, ὡς τοιαυτὶ πέφυκε τὰ ἀνθρώπινα καὶ ὡς γῆς γεγονότα πρὸς γῆν ἀναλύεται, καὶ τὸ σύνθετον τὴν λύσιν φιλεῖ καὶ πρὸς τὸ συγ-

---

1) Cf. Hist. 334 usque ad Hist. 343,
2) A ὤφελε. Cf. Hom. Il. XVII, 686.
3) B κατέσκηψε.

γενὲς ἐπειγόμεθα, καὶ ὡς ἐδὲν γενητὸν [1]) ὃ οὐ φθαρήσεται, κἄνπερ τινὲς φυσικοὶ κομπηροτέρως ἐκκομψευόμενοι καὶ γενητόν τι διισχυρίζωνται δύνασθαι πρὸς ἀφθαρσίαν ἐληλακέναι, λόγισαι καὶ σὺ ταῦτα, εἰ καὶ παῖς τὴν ἡλικίαν τελεῖς, ἀλλ' ὅμως ὢν ἀγχινούστατος, ὅτι καί σοι θνητὸς ὁ πατὴρ καὶ φυσικοῖς ἦν θεσμοῖς ὑποκείμενος, καὶ τὸν σύνδεσμον ὅθεν ἔλαβε πάλιν ἀπέδωκε, καὶ πενθήσας ὅσον ἐχέφρων τις ἄνθρωπος καὶ τὴν τῶν πραγμάτων γινώσκων φορὰν, παύου λοιπὸν εἰσέτι πέραν τοῦ μετρίου θρηνεῖν καὶ τὸν ἀνυπόστολον κλύδωνα τῦ πένθες κατάστελλε· εὐχαῖς δ' ἀποτίννυε τῷ κειμένῳ τὴν ἀμοιβὴν, ὡς τῶν ἐκεῖθεν ἀγαθῶν ἐπιτυχὴς γένοιτο καὶ τῆς τῶν σωζομένων μερίδος, οὗ ψυχαὶ δικαίων τυχεῖν ἐφιέμεναι καθεστήκασι. Τὰ τῇδε γὰρ πάντα κλαυθμῶνος πέδον, ἐγὼ δὲ καὶ κυβεῶνα καλῶ καὶ σφαιρικὴν φορὰν ἀστατοῦσαν πολύστροφον καὶ οὐδὲν κομπάζον καὶ τύφε ἀνάπλεων [2]). Λῆγε ἒν, λῆγε τῦ πένθες, παύε τῶν ἀμετρήτων δακρύων, ἀναρώννυε μὴ καταπίπτειν ὑπὸ τῦ πάθες σαυτόν. Οὐ γὰρ μόνος ἢ πρῶτος ἐπεπόνθεις αὐτὸς ὃ πέπονθας, κοινὸν δὲ τῦτο πάσης χρέος τῆς φύσεως· ἔχεις αὐτόθι τὲς τὰ τοιαῦτα τρανῶς ἐνδιδάξοντας τές σοι παρηγόρες καὶ παρηγορησομένες, ὡς χρή, οἷς συμπάρει, οἷς συνδιάγεις, οἷς τελεῖς ὁμόσκηνός τε καὶ ὁμοδίαιτος, τὲς τὴν ὄντως φημὶ φιλοσοφίαν ἀσκῦντας, τὲς τῷ θεῷ προσανέχοντας, οἳ πενθικῷ τρυχηρῷ μονοτροπέντων ἀμφίῳ θανατῦν καὶ νεκρῦν μελετῶσι τὴν σάρκα, δελαγωγῦντες τῷ κρείττονι, ὃς σὺν σοὶ κατασπάζεται πάντας καὶ προσκυνεῖ ἡ καὶ μόλις αὕτη δυνηθεῖσα γραφῆναι γραφή με· ὅτι καθ' ἣν ὥραν ἔμελλεν ἐξελθεῖν πρὸς ὑμᾶς ὁ κομιστὴς τῶν γραμμάτων κατ' αὐτὴν μαθὼν ἐκ τῦ ἰατρῦ κυρίε Ἰωάννε τὴν τότε ἐξέλευσιν ἀποσχεδιάσαι μόλις αὐτὴν ἠδυνήθην. Ὁ τῆς εἰρήνης θεὸς ἡ αὐτοαγαλλίασα καὶ χαρὰ γένοιτό σοι τέκνον ποθέμενον παράκλησις ὁμῦ καὶ ἀνάκλησις.

ογ. ΤΩΙ ΒΑΣΙΛΙΑΚΗΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ [3]).

Μάτην ἡμᾶς ἀγραφίας, δέσποτα, αἰτιᾷ· ἡμεῖς γὰρ, ὁ θεὸς οἶδε, συνεχεστέρως καὶ γράφομεν καὶ προσαγορεύομεν καὶ προσκυνῦμεν τὴν σὴν αὐθεντίαν· εἰ δ' ἄρα οἱ γραμματοκομισταὶ τὰς ἡμῶν γραφὰς σοι οὐκ ἀποκομίζεσι [4]), κατ' ἐδὲν ἡμεῖς ἐσμὲν αἴτιοι, καὶ πρὸς σῆς κεφαλῆς μὴ ἀκρίτως λυπῦ καθ' ἡμῶν τῶν ἀναιτίων ὡς ὑπαιτίων ὁ διακριτικώτατος

1) B γεννητόν.
2) ἀνάπλεον legitur in Chil.
3) Cf. Hist. 344. 345. 346. 347.
4) In AB suprascriptum: διαποκομίζεσι.

νὺς καὶ πλέον βασάνυ τῆς λυδικῆς. Τί γὰρ ἂν αἰτιῷτό τις ἄνθρωπον γράφοντα, ἅνπερ ὁ ἀποκομιστὴς τῶν γραμμάτων οὐ διακομίζοι τὰ γράμματα; Καὶ πάλιν ἰδὺ γραφὴν ἐγχαράττω τῇ αὐθεντίᾳ σε προςκυνῦσάν σε καὶ δηλῦσαν ἡμᾶς ὑγιαίνοντας, συνυγιαίνοντα δὲ καί σε σὺν ἡμῖν ὅσον τὸ ἐφ' ἡμᾶς μέχρι τῆς παρούσης πέμπτης ἡμέρας, ἕκτης δὲ τοῦ Ἰούλου μηνὸς, καθ' ἣν καὶ τὸ σταλὲν ἐδεξάμεθα[1]) γράμμα σε. Εἰ δὲ γραμματοκομιστὴς ταύτην οὐκ ἐγχειρίσει σοι, κἂν Ὅμηρος τὰ ἔπη πτερόεντα λέγῃ, ὅμως οὐχ ὑπερπετασθεῖσα τὸν κατέχοντα ταύτην γραμματοφόρον ταῖς σαῖς χερσὶν ἐμπεσεῖται. Λελύπημαι δὲ πολλὰ νὴ τὴν σὴν κεφαλὴν, ὅτι οὐ τηρεῖς ἐντολήν μου, ἀλλὰ συνεχῶς ἀποστέλλεις ἡμῖν, μάρτυς τοῦ λόγυ θεὸς ἡ αὐτοαλήθεια. Ὅπως μὲν ἂν ἑτέροις αἱ δωρεαὶ δοκοῖεν ὐκ οἶδα, ἐμοὶ δὲ θανάτυ[2]) ἴσον ὐκ ἂν εἴποιμι, φορτίον δὲ δυςβάστακτον ἥγηνται καὶ σαρκοβόρος πληγή. Ἐγὼ γὰρ ἀγάπης μόνης εἰλικρινῦς δέομαι, ἣν ἀκριβῶς πλουσιωτάτην ἐπέγνωκα παρὰ σοὶ, δωρεῶν δὲ ἄλλοις μελέτω. Ἐνθέντοι ὑπερευχαριστῶ τῇ σῇ αὐθεντίᾳ ἕνεκα τῶν σταλέντων μοι παρὰ σῦ, λήψομαι δὲ ὐδὲν ἐξ αὐτῶν· εἰ μὴ γὰρ ὕτω ποιήσαιμεν, ὐκ ἂν αὐτὸς μόνος φυλάξειας τὰς ἡμῶν[3]) ἐντολάς. Τὸν Τζέτζην, ἅγιε δέσποτα, πιστὸν φίλον ἐλευθεριώτατον γίνωσκε καὶ μισῦντα τὰς δωρεάς, ζήλῳ τῶν παλαιῶν ἐκείνων ἀνδρῶν Ἐπαμεινώνδυ καὶ Κάτωνος καὶ εἴ τις ἕτερος τοιῦτος τῶν παλαιῶν. Φησὶ γὰρ ὥςπερ ἐκεῖνοι δὴ καὶ αὐτός· οὐ πείσετέ με μισθῦ τὺς φίλυς φιλεῖν, καὶ τὸ Εἰ θέλεις με δῦλον ταῖς δωρεαῖς ἐξωνῦ, εἰ δέ γε φίλον παρὰ σαυτῷ τὰς δωρεὰς κάτεσχε, ἢ ταύταις τὺς ἀνελευθέρυς[4]) ὠνῦ. Ἡ γὰρ ἀκραιφνὴς φιλία ἣν ἀσκῦμεν ἡμεῖς ἐλευθεριώτατόν τε καὶ ἀδωρότατον. Ἡ ἄνωθεν δεξιὰ φρυροίη σε μακροχρόνιον πάσης βλάβης ἀνώτερον διεξάγυσα.

οδ. ΤΩΙ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΙΑΤΡΩΙ ΤΩΙ ΜΕΓΙΣΤΩΙ[5]).

Οὐκ οἶδα τίς ἄρα ἦν ὁ Μεγιστίας ἐκεῖνος ὁ Ἀκαρνὰν, ὃν ἐν τοῖς Ξέρξου χρόνοις Ἡρόδοτος αὔχημα μαντικῆς παρὰ Λακεδαιμονίοις εἶναι νεανιεύεται· σὲ δὲ τὸν δεύτερον Μεγιστίαν εἴτε τῆς Μεγιστίου ἐκείνου σειρᾶς κατηγμένον, εἴτε ὁποθενοῦν ἄλλοθεν εἰληχότα τὴν κλῆσιν οἶδα. Πολλῷ δὲ οἶμαι τοῦ προτέρου καλλίονα, οὐδὲ γὰρ ἐχρῆν τὸν καθ' ἡμᾶς

---

1) B ἐδεξάμην.
2) B superscr. θανάτῳ.
3) B ἐμάς.
4) A ἐλευθέρυς.
5) Cf. Hist. 348 usque ad Hist. 352.

χρόνον χρηστοτέρας γονῆς ἀκύμονα πάντη καθεστηκέναι ἢ ἀτελεσφόρητα καὶ ἀμβλωθρίδια τίκτειν κυήματα. Οἶδα γοῦν, οἶδα σοφόν σε τὴν Ἀσκληπιαδῶν τέχνην καθωραίσαντα πᾶσι τοῖς ἐκ τῶν [1]) λόγων μαθήμασι, γνωστὸν βασιλεῦσιν, ὀφθαλμὸν γερουσίας, τὸ ἦθος ἡδὺν, τὸν τρόπον χρηστὸν, τοῖς φίλοις πιστὸν, τῷ ὄντι τέλειον ἄνθρωπον σωφροσύνην [2]), ἦθος καὶ λόγον [3]) συναναφύραντα νέκταρι. Τοιοῦτος οὖν τῷ ὄντι καθεστηκὼς πραγμάτων κανὼν ἀκριβὴς μὴ μάτην ἀπροσηγορίας γράφου ἡμᾶς. Δίκαιοι γὰρ ἡμεῖς ἐκτὸς αἰτίας τοιαύτης καθεστηκέναι, οἳ καὶ μὴ προσαγορευόμενοι προσαγορεύομεν [4]) καὶ προσκυνοῦμεν ἑκάστοτε· λογιζέσθω δέ σοι ὁ κύριος Θεόδωρος τούτων ὑπαίτιος ἀμβλὺς τελῶν πρὸς τὸ γράφειν ὡς ἐξ ἡμῶν σοι καὶ ἀπονεναρκημένος καὶ ῥᾴθυμος· ἀλλ' οἶμαι οὔτε ὁ κύριος Θεόδωρος αἴτιος οὔτε ἄλλος οὐδεὶς, ἀγχινοίας δὲ τοῦτο σῆς οἴομαι πάλαισμα. Ἴσως γὰρ αὐτόθι νοσηλευομένους τινὰς θεραπεύων ἐμετικῶν τινῶν ἐγεγόνεις ἐν χρείᾳ, ἐδέησε δέ σοι συνθήκης γραμμάτων ἐμῶν, ἵνα τῇ τούτων θέᾳ καὶ μόνῃ τοῖς θεωμένοις οἱ ἔμετοι γίνοιντο ἄνευ τε χλιαροῦ μέλιτος καὶ πτεροῦ καὶ καθέσεως δακτύλων ἐπὶ τὸν [5]) φάρυγγα, καὶ ὡς ἡ ἀλώπηξ ποτὲ τὸν κόρακα μηχαναῖς ἀπατήσασα τὸν τυρὸν ἔλαβεν, οὕτω καὶ αὐτὸς ἐσοφίσω, ἵν' ἡμετέρων λάβῃς συνθήκην γραμμάτων. Ἔρρωσο γλυκεῖα ψυχὴ, ὁ ἐμὸς αὐθέντης καὶ ἀδελφός· προσαγόρευσον ἀφ' ἡμῶν [6]) τοῖς καλλίστοις μὲν ἀτυχέσι δὲ πραιτωρόπλοις, εἴ πε ἐντύχοις αὐτοῖς καὶ ἄλλοις γνωρίμοις ἡμῶν, τῷ δὲ κοινῷ πάντων αὐθέντῃ καὶ πᾶσιν ὑμῖν [7]) γνωστὸν ἔστω, ὅτι αἱ σικελικαὶ περὶ ἔαρ πρεσβεῖαι διατριβαὶ καὶ παρελκυσμοί εἰσι τοῦ προσφόρου καιροῦ. Ἡ ἄνωθεν παναλκὴς δεξιὰ φρουροίη σε ὑγιᾶ τε καὶ χαίροντα καὶ πρὸς ἅπαν τό σοι συμφέρον συμμεταφέρουσα.

οϛ. ΤΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΤΡΙΦΥΛΩΙ [8]).

Ἄνθρωπος ἐγγλωττογάστωρ ἢ μᾶλλον προσφυεστέρως εἰπεῖν νοογάστωρ ἐγὼ καὶ τεχνύδριον καὶ χειρωναξία οἱ λόγοι μου [9]) καθεστήκατον

---

1) A om. artic. τῶν.
2) B σωφρόνησιν.
3) AB λόγον, sed suprascr. τέχνην.
4) AB Schol.: Προσαγορεύω δοτικῇ· Ἀττικῶς δὲ αἰτιατικῇ, ὡς παρὰ Ἀριστοφάνει·
Χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
Ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν.
5) A superscr. τήν.
6) B ἡμῶν καί.
7) B ἡμῖν.
8) Cf. Hist. 353 usque ad Hist. 365.
9) B μοι.

καὶ συγγράμματα, οἷςπερ καρποῦμαι τὰ πρὸς ζωὴν, οἷςπερ καὶ μόνοις ἐγὼ διατρέφομαι, τὴν μῦσαν, καθὼς ὁ Πίνδαρος περὶ Σιμωνίδου φησὶν, ἀργυρέαν ποιέμενος, καὶ ὥςπερ ὁ Πλάτων ἐκεῖνος τὲς διαλόγες εἰς Σικελίαν πιπράσκων. Ἀλλ' ἵλεώς μοι ὁ Πλάτων καὶ ἡ Πλάτωνος θεία ψυχή. Ἐκεῖνος μὲν γὰρ καὶ ὀψαρτυτικὴν ἄκρως ἐξήσκησε καὶ τοῖς τραχήλοις τῶν τεθυμένων καὶ ἀκρωτηρίοις δὲ τοῖς λοιποῖς ἅπερ ἀνήκει τοῖς δαιταλεῦσι, καί πε καὶ τῶν καιριωτέρων ἴσως τινὰ ὑφαιρέμενος ἀφθονωτέραν ἐκέκτητο τράπεζαν καὶ τὲς τυράννες πλέον θωπεύων καὶ ὑπερχόμενος, εἰ μή πως [1]) Φιλίστῳ καὶ Φιλοξένῳ τῷ Κυθηρόθεν παρευδοκιμηθεὶς ἀντισοφιστεύουσι καὶ φωραθεὶς περὶ τυραννίδος κοινολογούμενος Δίωνι ἐς ἔσχατον ἤλασε συμφορᾶς. Ὁ Σπαρτιάτης γὰρ Πῶλις τέτε γε ἕνεκα ἐκ Διονυσίε τε τυραννῦντος τῦτον ἐωνημένος [2]) κατάρας εἰς Αἴγιναν ἐπίπρασκεν ὡς ἀνδράποδον, τοῖς Αἰγινήταις ἐκ τῆς ὁλκάδος βοῶν· Ἀθηναῖον πιπράσκω. Οἵ κατὰ τὲς Λαιστρυγόνας ἐκείνες σπεδῇ πρὸς τὸν λιμένα παρειςφρηκότες τῷ πρὸς Ἀθηναίες μίσει φερόμενοι μικρε λίθοις ἂν τὸν σοφὸν διεχρήσαντο, τρισσάκις ἤδη τότε τὴν Χάρυβδιν ἐκμετρήσαντα, εἰ μὴ λυσάμενος τὰ πρυμνήσια θᾶττον ἐκ τῆς Αἰγίνης ᾤχετο φεύγων ὁ ναύαρχος. Ἀρχύτᾳ δὲ τῷ Πυθαγορείῳ τῷ ἐκ τῆς Τάραντός ποι ἐντυχὼν τοῦτον ἀπεμπολεῖ, ἐξ οὗπερ ὁ Πλάτων τὴν Πυθαγορικὴν φιλοσοφίαν ὠφείλετο, δεσπότῃ τε τῷ αὐτῷ καὶ διδασκάλῳ χρησάμενος. Οὕτω μὲν ἐκεῖνος ὁ Πλάτων πρὸς τῷ ἀργυρέους τοὺς ἑαυτοῦ διαλόγους ποιεῖσθαι ὥςπερ ὁ Σιμωνίδης τὴν μοῦσαν καὶ ὀψαρτυτικῶς ἄκρως ἐξήσκησε καὶ τὴν πρὸς τὲς τυράννες θωπείαν· ἐξ ὧν ἁπάντων μόλις ἔχειν ἠδύνατο διαρκεστέραν τὴν βιοτήν. Ἡμεῖς δ' ἐπὶ μόνης ταυτησὶ τῆς ἀγκύρας σαλεύομεν ἣν φθάσαντες ἔφημεν ἐν τῷ τε βίε πελάγει, ὐκ ὀψαρτυτικὸν, οὐ θωπείαν εἰδότες, ὐκ ἄλλῳ τοιυτῳὶ ὐδενὶ προςανέχοντες, ὐδὲ προῖκα παρ' ὐδενὸς ὐδέν τι λαμβάνοντες, ἀδικεῖν γὰρ καὶ ὕτως οἰόμεθα τὲς ὅσες ἡ φύσις ἐξήμβλωσε τῆς ἀκριβοῦς διαρτίας ἀποσυλήσασα. Εἰ γοῦν καὶ συγγραμμάτων βυληθείημεν ἄγειν ἐκεχειρίαν, γράφειν δὲ παρὰ μίαν ἐπιστολὴν ἀντιγραφὰς τέσσαρας φορολόγοις ἀνθρώποις, ὐδὲν ἄρα ἐξ ἀσιτίας ἐστὶ τὸ κωλῦον καὶ ἡμᾶς τεθνηκέναι κατὰ τὸν Πυθαγόραν ἐκεῖνον τὸν τῆς φιλοσοφίας κατάρξαντα, ὅς τὴν ἐν Κρότωνι πυρπόλησιν πεφευγὼς ἀποδρασκάσας τε εἰς Μετάποντον καὶ τεσσαρακονθήμερον χρόνον κρησφυγετῶν ἐν τῷ τεμένει τῷ τῶν μεσῶν νῆστις ἐγκαρτερήσας ἀπεκαρτέρησε.

1) B πον.

2) In A folium excidisse videtur; omissa enim in eo omnia quae sequuntur usque ad Epist. 77. med. ἐγὼ νικῶν κτλ.

Πρὸς γοῦν τῶν ἱερῶν λόγων καὶ τῆς παιδείας καὶ τῆς φιλίας μὴ ἐθελήσῃς ἡμᾶς ὐδὲν ἀδικῦντας ὕτως ἀθλιωτάτῳ θανάτῳ ἀποθανεῖσθαι, ἀλλὰ καὶ ἐξαρίθμοις στέργε ταῖς σαῖς γραφαῖς τὰς ἐμὰς εἰ λαμβάνεις· κἂν οὐδαμῶς σοι ἐμὰς γραφὰς ἐγχειρίζῃ τις, ἐγὼ μὲν καὶ οὕτως ἄξιος αἰτίας ἀπολελῦσθαι, τὺς ἀποκομιστὰς δὲ δέον ὑπαιτίας ποιεῖσθαί σε. Ἔῤῥωσο.

ος. ΤΩΙ ΜΕΓΑΛΕΠΙΦΑΝΕΣΤΑΤΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΚΟΜΟΥ [1]).

[Κἂν αἱ ἐπιστολαὶ ἀλληνάλλως συνετέθησαν, ὡς τὰ σχεδάρια τούτων ἐτύχομεν ἐφευρεῖν καὶ ὡς ταύτην ἠδυνήθημεν ἀναγνῶναι.]

Τὴν ἐπιστολὴν καὶ ἀποστολὴν ἐδεξάμην τὰς παρὰ τῆς σῆς αὐθεντίας πεμφθείσας μοι καὶ ἀμφοτέρων ὐκ ἔχων ὅπως ἰσαξίως εὐχαριστήσω σοι, ὡς οἷόν τε ἦν, εὐχαῖς ἠμειψάμην σε· ἐμετρίαζε γὰρ ἡ γραφὴ καὶ πρὸς τὸ ταπεινὸν κατεσύρετο, τὸν ὄγκον ἀφεῖσα τῦ ἀξιώματος καὶ περὶ τῶν χαμαιζήλων καὶ πηχυαίων ἡμῶν γιγαντιῶντας λόγυς ἀνέπλαττον, οἷας ποτὲ τὰς Ἀλεξάνδρυ εἰκόνας ὁ Στασικράτης [2]) ἐκεῖνος ὁ Βυθηνὸς [3]), ὐχ ἑτερόφθαλμον ὐδ' ἑτεροτράχηλον πλάττων ἐκεῖνον οἷςπερ ἦν ὁ ἀνήρ, καθὼς καὶ ὁ Λύσιππος πρὸς ἀλήθειαν τῦτον ἀνέπλαττεν. Οὕτω μὲν ἐμετρίαζεν ἡ γραφὴ καὶ πρὸς τὸ ταπεινὸν κατεσύρετο, τοιαῦτά περὶ ἡμῶν ἀναπλάττυσα, κἂν αἱ τῶν ἐνθυμημάτων εὑρέσεις καὶ κεφαλαὶ καὶ ἡ ἰδέα τῦ λόγυ, ἔννοιά τε καὶ μέθοδοι, λέξεις, σχήματα, κῶλα, συνθῆκαι, ἀναπαύσεις, ῥυθμοὶ ὐκ εἴων αὐτὰς ὥςπερ ἐν προςωπίῳ τινὶ τῷ μετριάζοντι συγκαλύπτεσθαι. Πάνυ γὰρ μετέωρον καὶ μετάρσιον τὸ μετριάζον αὐτῶν ὑπεδείκνυον ταῖς τῶν λόγων δυνάμεσι ῥητορικὸν γραφικὸν ποταμὸν Ἰλισσὸν ἀττικὸν ἀποῤῥέοντα ἐν Ὑμηττίῳ συγκεκραμένον τῷ μέλιτι. Τοιαύτη μὲν ἡ γραφή. Τὰ δῶρα δὲ ὑπὲρ τὸν λαμβάνοντα, ἦσαν γὰρ οἷά ποτε ὁ Ἀντώνιος τῇ Κλεοπάτρᾳ χαρίζεται, κἂν καὶ καταδεᾶ σου τῇ γνώμῃ τοῦ δωρουμένου νενόμιστο. Τὰ δέ γε περὶ τὸν κύριον Θεόδωρον Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει, ἢ μᾶλλον τὸν χρησμὸν εἰπεῖν προςφυέστερον· Ἐμοὶ μελήσει καὶ λευκαῖς κόραις κἂν γὰρ οὐ νέκταρ ἡμεῖς ἀποῤῥέωμεν, ὡς γράφεις αὐτός·

Οὔ τίς τι [4]) θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐΐσκεις;

κἂν οὐ καναχῶσι πηγαὶ παρ' ἡμῶν τῶν ἐπῶν τῶν ῥευμάτων, ὐδὲ δωδε-

---

1) Cf. Hist. 366 usque ad Hist. 376.
2) Στασικράτης B correxit ex πασικράτης.
3) In Chil. βυθινός.
4) In Chil. A. I. ὕτις τοι. Cf. Odyss. XVI, 187.

κάκρενον ἔχωμεν [1]) στόμα Ἰλισσὸν ῥέον ἐκ φάρυγγος καθὰ φησι ὁ Κρατῖνος, ὅμως τῶν ἡμετέρων κρηνῶν ὡς αὐτός φησι προςεκτικῶς εἰ ἀρύοιτο οὐ διψήσεται. Εἰ δὲ μὴ μέγα εἰπεῖν καὶ δεξιῶς μεταλλεύοι καὶ τῶν λογικῶν [2]) ὀστρέων ἀναπτύσσοι τὰ ἔλυτρα, καὶ ψῆγμά τι χρυσίȣ εὑρήσει καὶ μαργαρῖτιν καὶ λίθον, οἷον πέτραι ῥαγάδες [3]) ἀναύρων καὶ φλέβες τέτων ὠδίνειν ἐπίστανται. Ὁ τῆς εἰρήνης θεὸς τηροίη τὴν σὴν αὐθεντίαν ὑγιᾶ τε καὶ πολυχρόνιον εὐενηρίας ἐναπολαύȣσαν.

οζ. ΤΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ ΤΩΙ ΙΣΜΗΝΙΩΤΗΙ [4]).

Ἐλελήθεις ἡμῶν μέχρι καὶ νῦν ὑπεροχωτάτη ψυχὴ τὰ πρὸς λόγȣς εἰ καὶ μὴ παντελῶς, ἀλλ᾽ οὖν ἐλελήθεις, ὑπογραμμὸν γάρ σε καὶ ἐπιστημονάρχην τῆς ἐγκυκλίȣ [5]) παιδείας ἐγίνωσκον ἀκριβέστατον. Καὶ γὰρ εἰ καὶ κολοκύνταις κατὰ τὸν κωμικὸν ἐλήμων, ὅμως οὐκ εἴων οὕτως ἂν ἀβλεπτεῖν με, ἀλλὰ παρεβιάζοντο τρανῶς ὁρᾶν καὶ ἀκȣ́ειν αἱ μεγαλοφυεῖς τῶν περὶ σȣ̃ πλακεισῶν σχεδȣργικῶν λαβυρίνθων πλοκαὶ καὶ αἱ ἐξαγώνιοι ἅμιλλαι· οὐ γὰρ ἦσαν ἔτω τῶν ἀνηκέστων καὶ ἀμαυρῶν μελισαγεῖς τῶν λόγων ἐκκρείουσαι ἴυγγας. Οὕτω μὲν οὕτω τῆς ἐγκυκλίȣ παιδείας ὑπογραμμόν σε ᾔδειν τὸν ἀκριβέστατον· ἐλελήθεις δέ με καὶ ῥητόρων ὢν ὁ δεινότατος καὶ φιλοσοφίας κανὼν καὶ γεωμετρίας καὶ ὀπτρικῆς ἐκ ἀμύητος. Ἐντυχὼν δὲ νῦν τῇ σῆς αὐθεντίας γραφῇ καὶ ταύτην ἀναλεξάμενος καὶ παραίνεσιν εὑρὼν αὐτὴν πατρικὴν πρὸς τὸν υἱέα συντάττȣσαν πολὺ καθεστηκυῖαν ἀμείνονα τῆς ἧς ὁ Συνέτης [6]) πρὸς Δημόνικον συνετάξατο καὶ τὴν τȣ̃ Ῥωμαίȣ Κάτωνος ὑπεραίρȣσαν καὶ αὐτῷ ἡμῶν ἐγκωμιάζειν κελεύȣσαν, ἔγνων σε ῥητόρων δεινότατον καὶ τὸν ἥττονα λόγον γυμνάζοντα. Ἥττων δ᾽ ἂν εἴη λόγος ἐγὼ νικῶν παρὰ σοὶ τὴν ἀλήθειαν, ὡς πρὶν παρά τισι ῥήτορσιν ἄλλοις τὸ Μυίας ἢ Ψύλλας ἐγκώμιον, καὶ τῇ σοφῇ [7]) δὲ παραινέσει τῆς ὄντως φιλοσοφίας εἰδήμονα ἔγνων σε. Ὡς δὲ ὑπερῇρεν ἡμᾶς ἡ γραφὴ καὶ τὸν περὶ ἡμῶν λόγον ἐξώγκωσεν [8]), ἥπερ τὴν τενθρη-

1) In Chil. ἔχομεν et infra φησίν.

2) B λογιστικῶν.

3) B ῥαγῶδες.

4) Cf. Hist. 376 usque ad Hist. 388.

5) B Schol.: Ἐγκύκλια μαθήματα λέγονται γραμματική, ῥητορική, φιλοσοφία, ἀριθμητική, μȣσική, γεωμετρία, ἀστρονομία, κυρίως δὲ τὰ λυρικὰ ποιήματα· τὴν δὲ καταχρηστικῶς τὴν γραμματικὴν ἐγκύκλιον παίδευσιν εἶπον.

6) Sic B, sed recte in Chil. Hist. 382 Ἰσοκράτης.

7) A σφῇ. In Chil. vulgo legitur ψύλλης, sed ibi quoque A ψύλλας.

8) B ἐξώγκυλλεν.

δόνα ὁ Κλείταρχος, καὶ γεωμετρίας ἐγνώρισα καὶ ὀπτρικῆς ἐκ ἀμύητον καὶ ἀγαλματουργὸν λόγων κατῖσον Φειδίᾳ, κρείττονα δὲ Ἀλκαμένους· ἄμφω καὶ γὰρ ἐκείνω τὼ πλάστα ποτὲ ἐδέησεν ἀγάλματα προςπλάσαι τῇ Ἀθηνᾷ ἐπὶ μετεώρε τινὸς τῆς βάσεως τεθησόμενα, καὶ ὁ μὲν Ἀλκαμένης ὀπτρικῆς καὶ γεωμετρίας ὢν ἄπειρος ἐς κάλλος παρθενικὸν τὸ ἄγαλμα [1]) ἐπεῤῥύθμιζεν, ἐδὲν ὑπολογισάμενος τῆς εὐρυθμίας ὑφαιρήσεσθαι τὸ μετέωρον. Ὁ δὲ Φειδίας τέτων καθεστηκὼς ἔμπειρος καὶ συνειδὼς ὡς τὸ μετέωρον κλέπτει τὴν συμμετρίαν, εἰ μή τι πλασθείη ὑπέρμετρον, ἐψεύσατο εἰς τὸ ἄγαλμα, ὡς μὴ εἰς τὴν ἀλήθειαν ψεύσοιτο. Προχειλὲς γὰρ τῦτο ἐδημιέργησεν, ἔπανδρόν τε καὶ ἀνεφγότας τὲς ὀφθαλμὲς ἔχον καὶ τοὺς μυξωτῆρας ἀνεσπασμένον, κἂν ἐκινδύνευσε λιθοβλὴς γεγονέναι περὶ τῦ δήμε τῇ τῦ Ἀλκαμενείε παραθέσει ἀγάλματος, ἕως μεταρσιώσας ἐπὶ τῆς βάσεως τὸ οἰκεῖον ἔδειξεν ἐργολάβημα τῷ μετεώρῳ τὴν συμμετρίαν ἀπολαβόν. Τὸ δὲ τῦ Ἀλκαμένες τῦμπαλιν καταγέλαστον. Οὕτω μοι νῦν καὶ αὐτὸς ἄλλος ἐφάνης Φειδίας γεωμετρίας ὡς ἔφην καὶ ὀπτρικῆς οὐκ ἀμύητος. Ἀγαλματουργῶν γὰρ τοῖς λόγοις ἡμᾶς καὶ πρὸς μετέωρον βάσιν μεταρσῶν τὰς ὑπεροχὰς καὶ βασιλέων φημὶ ἀκοὰς πολὺ τοῦ δέοντος ἐξαίρεις, ὡς πρὶν ἐκεῖνος τὴν τενθρηδόνα ὁ Κλείταρχος. Ζωΰφιον γάρ τι ἡ τενθρηδὼν μελίσσῃ παρεμφερὲς, ὁ δὲ περὶ ταύτης γράφων φησί· κατανέμεται τὴν ὀρεινὴν, τὰ κοῖλα δὲ εἰςίπταται τῶν δρυῶν. Οὕτως ἡμᾶς σχετικῶς ὑπεραίρεις, ἀλλὰ ῥητόρων δεινότητι ἀμφιεννύεις δέ με καὶ περιβλήμασι τοῖς ἐκ λόγων καὶ σηρικοῖς [2]), καὶ τὸν υἱέα κελεύεις λόγων δυνάμει σεμνύνειν τὸ τάριχος. Ἀντιμετρήσαι δέ σοι θεὸς τὴν τῆς πρὸς ἡμᾶς στοργῆς ἀμοιβὴν, ὦ λόγων κανὼν, ὦ κόσμε γερούσιε, ὦ τὸ ἐμὸν σεμνολόγημα.

οη. ΕΠΙΣΤΟΛΗ ΕΙΡΩΝΙΚΗ ΔΡΙΜΕΙΑ [3]). Ο ΑΜΑΘΗΣ ΤΖΕΤΖΗΣ ΤΩΙ ΤΗΝ ΕΡΜΟΥ ΤΕΧΝΗΝ ΑΚΡΩΣ ΕΞΗΣΚΗΚΟΤΙ ΠΕΛΑΓΟΝΙΤΙ ΟΝ ΑΙ ΑΘΗΝΑΙ ΒΟΩΣΙ ΚΑΙ ΚΟΛΟΦΩΝ [4]).

Τί κοινὸν ἡμῖν τοῖς ἀσόφοις καὶ σοὶ λογιώτατε δέσποτα, ὅς τὴν Ἑρμῦ τέχνην [5]) εἰς ἄκρον ἐξήσκησας καὶ ὑπὲρ αὐτὸν ταύτην ἐτέχνωσας; Τί κοινὸν ἡμῖν ὡς ἡμᾶς παρὰ σῦ περισύρεσθαι; Ἀλυσιτελεῖς μὲν ἡμεῖς οἶδα καὶ ἐδενὶ τῶν φοιτώντων ἡμῖν, εἴγε κἀκείνοις τῦτο δοκεῖ, λυσιτέλειαν

1) A om. τὸ ἄγαλμα.
2) In Chil. A legit σειρικῶν.
3) B om. δριμεῖα et in fine tituli habet κολοφῶν, A κολοφών.
4) Cf. Hist. 389 et 390.
5) AB Schol.: Ἑρμῦ τέχνην, suprascr. νῦν τὴν κλεπτικήν.

ἐπορίσαμεν· πλὴν ἀλλ' ἐδὲ βλάβης τισὶ καθεστήκαμεν αἴτιοι, ὥςπερ αὐτὸς ἐπικρίνεις καὶ ἐκ ὀλίγοι τέτε συνίστορες. Ἔῤῥωσο λογιώτατε· τᾶτο δὲ μὴ διδρασκέτω [1]) σε τὸ ἀγχινέστατον καὶ δραστήριον, ὡς εἰκῆ καὶ τηνάλως νῦν κόπες παρέχεις σαυτῷ καὶ τοῖς ἀφθονίε γυμνάσμασι [2]) κατατρύχῃ. Οὐ γὰρ καὶ νῦν ὡς τὸ πρότερον εὐμαρὴς καὶ βασίμη σοι γένηται ἡ πρὸς τὴν μονὴν τᾶ παντοκράτορος ἄγεσα, μήτοι γε νῦν ἑρμηνευομένῳ αὐτὰ, ἀλλ' οὐδ' ἂν αὐτὸς ὁ σταγειρόθεν γενήσῃ σοφὸς ἢ ὁ Ἀρίστωνος παῖς· ἐφωράθης γὰρ ἀκριβῶς καὶ ὁ ὁσιώτατος καθηγεμένος οὐκ εὐεξαπάτητος, κἂν τῇ ἁπλόῃ τοῦ τρόπου καὶ τῷ ἀγαθοθελεστάτῳ κατακεκόσμηται.

οθ. ΤΩΙ ΚΑΘΗΓΟΥΜΕΝΩΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ ΜΟΝΗΣ ΚΥΡΙΩΙ ΙΩΣΗΦ [3]).

Δέσποτά με ἅγιε, ὥςπερ ἔλαφος διψητικωτάτη πηγὰς ὑδάτων ἐπιποθεῖ, ὅτω κἀγὼ διψητικῶς ἔχω τῆς λυσιτελείας ἁπάντων τῶν παραβαλλόντων εἰς τὸ κελλίον με· τιμὴν γὰρ τᾶτο ἐμὴν οἴομαι καὶ εὐεργέτημα· εὐχαριστία γὰρ ἐντεῦθεν ἐπακολεθεῖ, τὴν δὲ ἀμαθίαν αὐτῶν τὴν ἐκ τῆς προςέσης αὐτοῖς ῥαθυμίας ἐμὴν ἀτιμίαν καὶ εἴ τι ἄλλο βαρύτερον ἥγημαι. Ἐπεὶ δὲ καὶ ὁ χαρτελάριος εἷς ὢν τῶν φοιτώντων ἡμῖν τὴν πρώην ἣν εἶχεν ἀφεὶς ἐπιμέλειαν περί τε τὰς ἑρμηνείας αὐτᾶ καὶ τὸ γράφειν ῥητορικῶς, οἷς πλέον τῶν εὑρισκόντων θησαυροὺς ἐτερπόμην ἀνιάτως πρὸς ἔσχατον τῆς ῥαθυμίας εἰςήλασε καὶ ἀθυμία ἐντεῦθέν μοι παρὰ τῶν ἐκ εἰδότων προςτρίβεται, δέομαι τῆς ἁγιωσύνης σου, ὡς ἂν ἐξέλῃς ὄνειδος ἐξ ἐμοῦ, ὡς πρὶν ἐκεῖνος ὁ Φινεὲς [4]) ἐξ υἱῶν Ἰσραὴλ καὶ μεταστήσῃς τοῦτον ἐκ τοῦ φοιτᾶν παρ' ἡμᾶς, ὅπῃ τισίν ἐστιν αἱρετόν. Ὁ Πελαγονίτης σοφός ἐστιν ἄνθρωπος καὶ τᾶ ἱερᾶ καταλόγε καὶ βίε σεμνᾶ καὶ γνωστὸς τῇ ἁγιωσύνῃ σου καὶ ἀρχιερωσύνης ἐπάξιος· κἂν ὁ σεβαστὸς Βελγαρίας ἀρχιερεὺς ἐκ οἶδ' ὅτι γνὰς τᾶτον ὥςπερ ἔκτρωμα ἐξεφαύλισεν. Οὗτος ἓν ἤ τις τῶν ἑτέρων εὑρήσει καὶ εἴπῃ, ὅπῃ τᾶτον ἁρμόδιόν ἐστι προςφοιτᾷν.

Πλείη μὲν γὰρ γαῖα σοφῶν, πλείη δὲ θάλασσα [5]).

Τούτοις φοιτάτω λοιπὸν, ἀποτρεχέτω δὲ ἀφ' ἡμῶν ἀνιάτως οὕτω νοσῶν. Οἶμαι δὲ ἐδὲ προβαλεῖται ἡ ἁγιωσύνη σε καινοτομίαν ἐξ αὐτῆς

1) B διαδρασκαζέτω.
2) B προςγυμνάσμασι.
3) Cf. Hist. 391 et 392.
4) AB φινεύς.
5) Hesiodi O. et D. v. 101, ubi omnes l. ms.: γαῖα κακῶν.

εἰς ἡμᾶς γενομένην καθάπερ ἐπ' ἄλλας· ἡμεῖς γὰρ οὔτε ὠχλήσαμεν οὔτε ἐβιάσαμεν, αὐτοθελῶς δὲ ἡ ἁγιωσύνη σου μόνη ἀπέσταλκεν ἡμῖν ὅσα δὴ καὶ ἀπέσταλκε καὶ πλεῖον οὐδέν. Ἐῶ δὲ λέγειν ποσαπλᾶ τούτων ἐζημιώθη· μὴ ἐξηγούμενος ἐξηγήσεις, δι' ἃς μοι ἐδόθησαν βασιλικαὶ δωρεαί. Δέομαι γοῦν, δέομαι τῆς ἁγιωσύνης σου, ὡς ἂν μεταστήσῃς τοῦτον ἐκ τοῦ ἐμοὶ προςφοιτᾷν πρὸς οὓς ὁ θεὸς ὁδογήσει σε.

π. ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΔΡΙΣΤΡΑΣ [1]).

Τὴν παρὰ τῆς σῆς ἁγιωσύνης προςκυνητὴν ἐμοὶ σταλεῖσαν γραφὴν ἅμα καὶ τὴν μεγαλοδωρίαν ἀπέλαβον θειότατε δέσποτα, τό τε παιδάριον, ὃ ἐκ Σεβλάδου νῦν μετεκλήθη Θεόδωρος, καὶ τὸ ταυρογλυφὲς, εἰ δὲ βούλει ῥωσογλυφὲς μελανδόχον ἐκεῖνο πυξίδιον, ᾧ [2]) ἐξ ὀστέου ἰχθύος ὑπὲρ τὰ Δαιδάλου θρυλλούμενα χειρουργήματα ἄφατόν τι κάλλος ἐνετετόρευτο· καὶ τῇ καρδίᾳ σου προςεκύνησα ἕως ἐδάφους, οὐ γὰρ εἶχον σωματικῶς προςκυνεῖν. Ἀντιχαρίζεσθαι δὲ μὴ ἔχων μήτ' ἰσαξίως μήτε τῆς ἀξίας καταδεέστερον εὐχαῖς ἠμειψάμην τε καὶ ἀμείβομαι τὴν σὴν ἁγιότητα. Ὑπερηγασάμην δὲ ταύτην καὶ ὑπεράγαμαι τοσαύτην ἐνδεικνυμένην περὶ ἐμὲ τὴν σπουδὴν καὶ στοργήν· μυριάκις γὰρ καὶ τεθνηκυίᾳ καὶ ζώσῃ φωνῇ ἀκροασαμένη ἐμοῦ ὡς οὐδενὸς εἴην ἐν χρείᾳ βιωτικοῦ, οὐ χρημάτων, οὐχὶ κτημάτων, οὐκ ἀνδραπόδων, οὐδ' ἄλλου τινὸς οὐδαμοῦ, ὅμως τῷ ἀῤῥήτως ὑπερεκκάοντι τῆς περὶ ἐμὲ ζωπύρῳ στοργῆς καταφρονεῖ μου τῶν λόγων, τῶν ἐντολῶν λησμονεῖ, τὸ ἐφετὸν οὐ πληροῖ, ἀλλ' ἐκ περιουσίας τοιαύτας ἡμῖν ποιεῖται ἀποστολὰς, ὧν οὐκ ἐν χρείᾳ ἐσμὲν οὐδαμοῦ. Διψῶμεν γὰρ οὐ τοιούτων οὐδὲ κεχρήμεθα, ἐφετὸν δὲ μόνον ἡμῖν καὶ διψητικώτατον τὸ τὴν σὴν κατιδεῖν ἱερὰν κεφαλὴν καὶ ὁμιλίας σῆς ποθεινοτάτης ἐπαπολαῦσαι ἢ καὶ μόνης φωνῆς ἀκροάσασθαι. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἀποστολῶν. Ὡς δὲ ἀνελίττων τῆς σταλείσης μοι δεσποτικῆς γραφῆς σου τὸ γραμματεῖον ἐκ τῶν γραμμάτων ἐμάνθανον, ὅτι πλημμελῶς ἔχεις καὶ ὀχληρῶς ἐκ τῶν οἷς ἔθος ἐστὶ τὰ δυςχερῆ ῥιπίζεσθαί τε καὶ ὑπανάπτεσθαι, μικρόν τι διαχυθεὶς ἐμειδίασα πρὸς τὸ φιλόσοφον ἀπιδὼν τῆς σῆς θειοτάτης ψυχῆς, ὅτι τοῦ ἀνθρωπείου σύμπαντος βίου κυβεῶνος ἢ κυκεῶνος ὅλου θορύβων ὑπάρχοντος μόνος ἠθέλησας ἢ ὑπετόπασαι ἐν μέσῳ τούτου περιπολῶν ἐστερῆσθαι τούτων ὥςπερ ὑδάτων ὁ Τάνταλος ἐν μέσῳ τῆς λίμνης ἑστώς. Ἀλλὰ φέρε μικρόν τι θειότατε δέσποτα καὶ τοῖς σταλεῖσιν ἀστεισώμεθα. Τί

1) Cf. Hist. 393 usque ad Hist. 396.

2) A ὅ.

πεποίηκας, δέσποτα, τὸν πρὶν Σέβλαδον νῦν δὲ Θεόδωρον ἀπέσταλκας ἡμῖν, ἀντ' ὠφελείας ζημίαν. Πρῶτα μὲν γὰρ διὰ τὸ τῆς ἡλικίας τότε βραχὺ καίπερ τȣ̃ δȣλεύσοντος ἡμῖν κεχρήμενοι δȣλεύομεν ἢ δȣλευόμεθα· δεύτερον ἕνα μόλις τρέφειν δυνάμενος νῦν καὶ τȣ̃τον δεύτερον προςλαβὼν ὀρφανοτροφῶ καὶ μὴ ἔχων εὐμάρειαν πόρων τῶν ζωαρκῶν ἀπεμπολῶ με διὰ τȣ́τȣς τὰ χρειωδέστατα· τρίτον ἀξυνημονῶν μȣ τῆς γλώττης, βαρβαρίζειν γὰρ αὐτὸς ȣ̓κ ἐπίσταμαι, δεινὰ ποιεῖ καὶ γελοῖά μοι· τέταρτον οὐ Ῥῶς ἀλλὰ τῷ γένει Μυσός ἐστι· πέμπτον ἀριστόχειρ· πρὸς τούτοις ἕκτον μανθάνειν οὐ θέλει, τρώγειν δὲ βȣ́λεται· ἕβδομον ἀῤῥωςικώτατός[1]) ἐστι καὶ θανατιῶν καὶ τὸν ἕτερον ἐκδιδάσκει τοῦτο ποιεῖν· κεῖνται γὰρ καὶ ἀμφότεροι ἔκτοτε δεινῶν ἀῤῥωστοῦντες. Τὸ δέ γε πυξίον τοῖς γλύψασιν ἦν προςφυὲς ἀνδράσι πίνειν ἢ γράφειν εἰδόσιν· ἑνὸς γὰρ γραφικȣ̃ δονακιδίȣ καὶ τȣ́τȣ μόλις χώρησιν εἶχεν. Ἀλλὰ ταῦτα μὲν ἀστεΐσματα· προςκυνῶ δὲ διὰ τῆς παρȣ́σης γραφῆς μȣ τὴν σὴν μεγίστην ἁγιωσύνην, κατασπάζομαι δὲ καὶ πάντας τȣ̀ς ὑπ' αὐτήν· ἣν καὶ δοίη μοι θεὸς εἰςιδεῖν τάχιον, ἣν καὶ φρȣροίη μακροῖς ἐν χρόνοις ἀνωτέραν δὲ δυςχερῶν τῶν ὁποίων δήποτε.

πα. ΤΩΙ ΝΟΣΟΚΟΜΩΙ ΤΟΥ ΙΑΤΡΕΙΟΥ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ[2]).

Οὐκ οἴομαι σοφωτάτη ψυχὴ τῷ ὄντι καὶ πρὸς ἀλήθειαν, ἀλλ' ἐριστικώτερον καὶ πειραστικώτερον τὸν λόγον προάγοντα[3]) *λέγειν σε ὡς ὁ Γαληνὸς, ὁ καὶ τῆς σῆς τέχνης καθηγητὴς, ἐν χρόνοις καθεστηκὼς ἦν τοῖς τȣ̃ σωτῆρος ἐνανθρωπήσεως. Οἶμαι γὰρ ȣ̓κ ἠγνόηκας ὡς ἦν τοῖς Ἀντωνίνȣ χρόνοις τȣ̃ Καρακάλȣ δεδιδαγμένος τῷ Πέλοπι. Εἰ δὲ Τζέτζȣ γαστρὸς ἀναπλάσματα ταῦτα νομίζεις καὶ λέγεις ὥςπερ φασί, γνῶθι καὶ ἀκριβέστερον ἐκ τεκμηρίȣ καὶ δείγματος, ὡς τοῖς ἰσχνογάστορσιν ἀνθρώποις καὶ οἷς ἡ ἀλήθεια πολλῷ χρυσȣ̃ τιμιωτέρα καθέστηκε, γαστρὸς ȣ̓κ εἰσιν ἀναπλάσματα· ἀνέγνως οἶδα καλῶς τὰ Ἀνδρομάχȣ θηριακὰ, ἃ προφέρει Γαληνὸς ὡς αὐτȣ̃ ἀρχαιότερα. Ὁ δ' Ἀνδρόμαχος ἐν χρόνοις ἦν τοῖς τȣ̃ Νέρωνος, ὡς παριστῶσι τὰ ἔπη·*

Κλῦθι πολυθρονίȣ βριαρὸν σθένος ἀντιδότοιο
Καῖσαρ ἀδειμάντȣ δῶτορ ἐλευθερίης.
Κλῦθι Νέρων ἱλαρὴν μιν ἐπικλείȣσι γαλήνην.

---

1) B *ἀῤῥωτητικώτατός.*
2) Cf. Hist. 397.
3) B *προςάγοντα.*

Εἰ γοῦν ὁ Γαληνὸς οὕτω μέμνηται τῶν ἐν τοῖς χρόνοις ὄντων τοῦ Νέρωνος ὡς παλαιοτέρων αὐτȣ͂, πῶς ἄρα τοῖς ἀνωτέρω χρόνοις ὑπῆρχε, πῶς. δὲ ταῦτα γαστρὸς ἡμῶν εἰσὶν ἀναπλάσματα; Ἀλλ' ἴσθι ἀκριβέςατα ἐξ αὐτῶν, ὡς οὔτε Γαληνὸς τοῖς ἀνωτέρω χρόνοις ὑπῆρχεν, οὐθ' ἡμεῖς ἀπὸ γαστρὸς ἀναπλάττομεν, τῆς ἀληθείας εἴπερ τινὲς ἐρασταὶ καθεστηκότες διάπυροι. Ἔῤῥωσο.

πβ. ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΔΡΙΣΤΡΑΣ [1]).

Τὰ γράμματα Παλαμήδης ἐφεύρηκε [2]), θειότατε δέσποτα, ἄλλων [3]) μὲν ἕνεκα, ȣ̓χ ἥκιστα δὲ καὶ ἵν' αἱ ψυχαὶ τὸ ἑαυτῶν ποιεῖν ἀμέσως εἰργόμεναι τῷ πάχει καὶ τῇ ἐπιπροςθήσει τοῦ σώματος δι' αὐτῶν ἐμμέσως ποιοῖεν καὶ ὁμιλοῖεν ἀλλήλαις. Σὺ δὲ ȣ̓κ οἶδ' ὅτι ἄρα τὸ αἴτιον κατὰ τȣ̀ς ἐνιαυτȣ̀ς ἐκείνȣς [4]) τȣ͂ Μέτωνος γράφεις, ἵνα μὴ παντελῶς φαίην, οὐ γράφεις ἡμῖν. Ἂν οὖν οἱ γραμματοκομισταὶ τὰς ἀμφοτέρων γραφὰς ἀμφοῖν ἡμῖν ȣ̓κ ἐγχειρίζωσιν ἐπικρύπτοντες καὶ ἄμφω ἡμεῖς αἰτίας ἐκτός· ἂν δὲ τῇ σῇ ἁγιότητι γράμματα μὲν τῆς ἡμῶν ȣ̓θενείας ἀποκομίζοιντο ἱκετηρίαν ἔχοντα καὶ δεόμενα τί ποιητέον καθέστηκε περὶ τοῦ Σεβλάδου καὶ πρὸς τίνα τȣ͂τον παραπεμπτέον, σὺ δὲ οὐ γράφεις ἡμῖν καὶ τȣ͂ τοιούτου ῥύῃ δασμοῦ, οὐκ ἀπολύῃ αἰτίας, οὕτω κἂν ἄκων τρύχων ἡμᾶς ἀλυσιτελέσιν ἐπιφορτίσμασιν, οὐδεὶς γὰρ ἄκων εὐεργετεῖται καὶ ἀπεύχεται πᾶς λυπρὸν εὐδαίμονά οἱ γενέσθαι τὸν βίον, ἐγὼ δὲ πλέον ἁπάντων· ἐμοὶ γὰρ ἀδωροτάτη λίαν [5]) καθέστηκεν ἡ ψυχή, βραχὺ δὲ φιλοῦντος γραμμάτιον μυρίων τε δωρεῶν καὶ θησαυρῶν ὑπερτίθεται. Ὁ τῆς εἰρήνης θεὸς φυλάττοι τὴν σὴν μεγίστην ἁγιωσύνην καὶ τάχιον κεχαρμένην μοι δοίη ταύτην ἰδεῖν καὶ προςκυνῆσαι καὶ κατασπάσασθαι.

---

1) Cf. Hist. 398. 399. 400. 401.

2) AB Schol.: Οὐ Ναυπλίȣ παῖς, ȣ̓δὲ ὁ Κάδμος, ὡς ὁ λόγος, εὗρεν ἐν Ἕλλησι τὰ γράμματα· γράφει δὲ ȣ̔́τως, ὥσπερ εἰσὶν οἱ λόγοι· Τζέτζης ἐγὼ γὰρ καὶ πρὸ τῶν Κάδμȣ χρόνων χρησμὸν παλαιὸν ἐκτεθειμένον φράτην (sic Codd. ἀττικῶς .... ὠδοθέντος) Κάδμῳ δοθέντος τῷ προκειμένῳ λόγοις· ἔχει δ' ὁ χρησμὸς ὧδε τοῖς λόγοις λέγων.

Χρησμός·
Φράζεο δὴ τὸν μῦθον Ἀγήνορος (ἀγήνωρος AB) ἔκγονε Κάδμε,
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν
Καὶ τὰ λοιπὰ τοῦ χρησμοῦ.

3) B καὶ ἄλλων.

4) B ἐκείνου.

5) B ἀδωροτάτη πάντων.

ἐπορίσαμεν· πλὴν ἀλλ' ἐδὲ βλάβης τισὶ καθεστήκαμεν αἴτιοι, ὥςπερ αὐτὸς ἐπικρίνεις καὶ ἐκ ὀλίγοι τέτε συνίστορες. Ἔῤῥωσο λογιώτατε· τῦτο δὲ μὴ διδρασκέτω [1]) σε τὸ ἀγχινέστατον καὶ δραστήριον, ὡς εἰκῇ καὶ τηνάλως νῦν κόπες παρέχεις σαυτῷ καὶ τοῖς ἀφθονίε γυμνάσμασι [2]) κατατρύχῃ. Οὐ γὰρ καὶ νῦν ὡς τὸ πρότερον εὐμαρὴς καὶ βασίμη σοι γένηται ἡ πρὸς τὴν μονὴν τῦ παντοκράτορος ἄγεσα, μήτοι γε νῦν ἑρμηνευομένη αὐτὰ, ἀλλ' οὐδ' ἂν αὐτὸς ὁ σταγειρόθεν γενήσῃ σοφὸς ἢ ὁ Ἀρίστωνος παῖς· ἐφωράθης γὰρ ἀκριβῶς καὶ ὁ ὁσιώτατος καθηγεμένος οὐκ εὐεξαπάτητος, κἂν τῇ ἁπλόῃ τοῦ τρόπου καὶ τῷ ἀγαθοθελεστάτῳ κατακεκόσμηται.

οθ. ΤΩΙ ΚΑΘΗΓΟΥΜΕΝΩΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ ΜΟΝΗΣ ΚΥΡΙΩΙ ΙΩΣΗΦ [3]).

Δέσποτά με ἅγιε, ὥςπερ ἔλαφος διψητικωτάτη πηγὰς ὑδάτων ἐπιποθεῖ, ὕτω κἀγὼ διψητικῶς ἔχω τῆς λυσιτελείας ἁπάντων τῶν παραβαλλόντων εἰς τὸ κελλίον με· τιμὴν γὰρ τῦτο ἐμὴν οἴομαι καὶ εὐεργέτημα· εὐχαριστία γὰρ ἐντεῦθεν ἐπακολεθεῖ, τὴν δὲ ἀμαθίαν αὐτῶν τὴν ἐκ τῆς προςέσης αὐτοῖς ῥαθυμίας ἐμὴν ἀτιμίαν καὶ εἴ τι ἄλλο βαρύτερον ἥγημαι. Ἐπεὶ δὲ καὶ ὁ χαρτελάριος εἷς ὢν τῶν φοιτώντων ἡμῖν τὴν πρώην ἣν εἶχεν ἀφεὶς ἐπιμέλειαν περί τε τὰς ἑρμηνείας αὐτῦ καὶ τὸ γράφειν ῥητορικῶς, οἷς πλέον τῶν εὑρισκόντων θησαυροὺς ἐτερπόμην ἀνιάτως πρὸς ἔσχατον τῆς ῥαθυμίας εἰςήλασε καὶ ἀθυμία ἐντεῦθέν μοι παρὰ τῶν ἐκ εἰδότων προςτρίβεται, δέομαι τῆς ἁγιωσύνης σου, ὡς ἂν ἐξέλῃς ὄνειδος ἐξ ἐμοῦ, ὡς πρὶν ἐκεῖνος ὁ Φινεὲς [4]) ἐξ υἱῶν Ἰσραὴλ καὶ μεταστήσῃς τοῦτον ἐκ τοῦ φοιτᾷν παρ' ἡμᾶς, ὅπῃ τισίν ἐστιν αἱρετόν. Ὁ Πελαγονίτης σοφός ἐστιν ἄνθρωπος καὶ τῦ ἱερῦ καταλόγε καὶ βίε σεμνῦ καὶ γνωστὸς τῇ ἁγιωσύνῃ σου καὶ ἀρχιερωσύνης ἐπάξιος· κἂν ὁ σεβαστὸς Βελγαρίας ἀρχιερεὺς ἐκ οἶδ' ὅτι γνὲς τῦτον ὥςπερ ἔκτρωμα ἐξεφαύλισεν. Οὗτος ἓν ἤ τις τῶν ἑτέρων εὑρήσει καὶ εἴπῃ, ὅπῃ τῦτον ἁρμόδιόν ἐστι προςφοιτᾷν.

Πλείη μὲν γὰρ γαῖα σοφῶν, πλείη δὲ θάλασσα [5]).

Τούτοις φοιτάτω λοιπὸν, ἀποτρεχέτω δὲ ἀφ' ἡμῶν ἀνιάτως οὕτω νοσῶν. Οἶμαι δὲ ἐδὲ προβαλεῖται ἡ ἁγιωσύνη σε καινοτομίαν ἐξ αὐτῆς

---

1) B διαδρασκαζέτω.
2) B προςγυμνάσμασι.
3) Cf. Hist. 391 et 392.
4) AB φινεύς.
5) Hesiodi O. et D. v. 101, ubi omnes l. ms.: γαῖα κακῶν.

καὶ πρὸς διάρκειαν πόρε ζωῆς ὀφφίκιον ἐχαρίζετο. Οὕτω δύο τοιέτων στάντων τροπαίων μοι, ἔτω δύο νόμων ὀχυρωτάτων ἐπ' ἐμοὶ καὶ μόνῳ παραβαθέντων παρὰ τῶν θεμένων [1]) αὐτὸς ἀβρύνομαί τε καὶ κομπάζω καὶ τὴν ὑμῶν προςκυνῶ ἁγιότητα τοσῦτον ἁπάντων [2]) τῶν ἄλλων ὑπερτιθεμένην ἐμέ. Ἣν συντηροίη θεὸς μακροχρόνιον εἰς πολλῶν λυσιτέλειαν.

πδ. ΤΩΙ ΘΕΟΦΙΛΕΣΤΑΤΩΙ ΙΕΡΟΜΝΗΜΟΝΙ [3]).

Ἤλγησα μὲν, ἤλγησα καὶ τὴν ψυχὴν καιρίως εὖ ἴσθι ἐδήχθην, θεοφιλέστατε δέσποτα, τοῖς καινοτομήμασιν ἃ καινοτομεῖ οὗ ὁ ἐμβρόχθιος λίθος, τὸν λίθον ἐκεῖνον εἰκόνιζε τῆς Πανσανίε μητρὸς, περὶ οὗ καὶ τὰ προφητικά φησιν λόγια· ὦ οἱ ποιμένες τῦ Ἰσραὴλ, διεφθείρατε τὴν διαθήκην τῦ λευὶ, ὃν ἐξεσίᾳ ὀνείρων κἀγὼ πρώην ἐθεασάμην πρόσωπον σὸν πεφυκότα κεραμεοῦν κραῦρον καὶ εὔθρυπτον· ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνοιτο [4]) γένεθλα, τὴν πάντα γῦν βόσκεσαν ἡλίε φλόγα αἰδείσθω τοιόνδ' ἄγος ἀκάλυπτον τρέφειν. Ἐγὼ δὲ τὸν ἄνδρα δρῶντα τοιαῦτα ἐκ αἰτιῶμαι τοσῦτον ὅσον τὴν ἱερὰν γερεσίαν τοῖς πραττομένοις ἐφησυχάζεσαν. Ὁ τῆς εἰρήνης θεὸς τὸ τῶν σκανδάλων καθέλοι μεσότοιχον καὶ τοῖς θλιβομένοις παράκλησις γένοιτο.

πε. ΤΩΙ ΚΥΡΙΩΙ ΓΕΩΡΓΙΩΙ ΤΩΙ ΚΑΛΛΩΝΙ.

Ὡς τὴν γραφὴν ἀνὰ χεῖρας τὴν σὴν ἐδεξάμην, γλυκύτατον τέκνον πνεύματί μοι καὶ λόγοις γεγεννημένον, δυσὶν ἀντιθέτοις κατὰ ταὐτὸ περιεσχέθην τοῖς πάθεσιν· ἥσθην τε γὰρ ἅμα καὶ ἤλγησα ὥςπερ ἐκεῖνος ὁ Ξέρξης ποτὲ, ὁπότε καινοτέρᾳ πορείᾳ τὸ πέλαγος διαπορθμεύεσθαι μέλλων τὸ Ἑλλησπόντιον ἐπὶ τὸν θῶκον ἐκεῖνον τὸν πέτρινον ἀνέβη τὸν ὑψηλόν· ἰδὼν γὰρ ἐκεῖθεν τὴν μυριάριθμον, μᾶλλον δὲ ἀνάριθμον αὐτῦ στρατιὰν ἥσθη ὡς οἷον εἰκὸς βασιλέα τοιαύτης στρατιᾶς ἐγκατάρχοντα, καὶ ἅμα τὲς ὀφθαλμὲς μεστὲς δακρύων ἀπέφηνεν, εἰς νῦν θέμενος τῶν ἀνθρωπείων πραγμάτων τὸ βραχυχρόνιον. Οὕτω κἀγὼ κατ' ἐκεῖνον τὸν Ξέρξην, τέκνον γλυκύτατον, ἥσθην ἅμα καὶ ἤλγησα τὴν σὴν γραφὴν ἀνὰ χεῖρας λαβών· ἥσθην μὲν ὅτι φιλτάτε μοι τέκνε γραφὴν ἐδεξάμην, ἤλγησα δὲ ὡς ἐπινόσως ἐκ ταύτης ἀνέμαθον ἔχειν σε, κἂν εὐθέως με πάλιν τῷ ἄχθει τῆς λύπης ἐμβαρυνόμενον αὐτὴ ἀνεκέφισε, ῥᾴοτερον ἤδη ἔχειν σε

1) B θεωμένων.
2) B om. ἁπάντων.
3) Cf. Hist. 413. 414. 415.
4) In Chil. καταισχύνεσθε et αἰδεῖσθε.

καταγγέλλεσα. Εἴη δὲ τῇ τῦ Θεῦ φιλανθρωπίᾳ καὶ ἀγαθότητι καὶ τελέως ἐξάντη γεγονέναι τῆς νόσε καὶ πρὸς τὴν προτέραν ὑγιεινὴν ἐπανακάμψαι κατάστασιν. Γραφὴν δὲ ἀγραφίας εἰς μάτην ἡμῖν ἐπιγράφεις γράφων ὡς γράφεις ἡμῖν· ἡμεῖς δέ σοι ἐκ ἀντιγράφομεν, καὶ τίνι γὰρ ἂν γράψαιμεν ἄλλῳ, εἰ μὴ τῷ συγκρίτως ὑπερκειμένῳ καὶ φιλουμένῳ τῶν λοιπῶν μοι ἁπάντων ὁμιλητῶν. Ἀπόλυε ἐν ἡμᾶς τῆς τοιαύτης αἰτίας ἀναιτίες καθιστηκότας· οὐδὲ μίαν γὰρ μέχρι νῦν ἐδεξάμην γραφήν σου, ὑπαιτίους δὲ ποιῦ τὺς μὴ τὰς σὰς γραφάς [1]) μοι ἀποκομίζοντας. Ἡ τῦ Θεῦ φιλανθρωπία καὶ ἀγαθότης ἀξιώσαι ἡμᾶς ἀλλήλες ἰδεῖν ὑγιῶς ἔχοντας καὶ ἀλύπως· σὺ δὲ τοὺς ἀφανῶς ζῆν [2]) ἑλομένους μεγαλοεπιφανεστάτους μὴ ἐπίγραφε.

πς. ΤΩΙ ΣΕΒΑΣΤΩΙ ΚΥΡΙΩΙ ΘΕΟΔΩΡΩΙ ΤΩΙ ΚΑΜΑΤΗΡΩΙ [3]).

Ἐχέφρονος πρᾶγμα ποιεῖς καὶ φύσει Θηραμένες, τὰ σὰ μὲν αὐτὸς ἀπολαμβάνων, ἐκ ἀποδιδὺς δὲ τὰ ἀλλότρια. Ἔρρωσο.

πζ. ΤΩΙ ΑΥΤΩΙ [4]).

Ἀῤῥώστως ἔχω καὶ ἀσθενῶς καὶ πόνοις ἐπιβάλλειν οὐ σθένω, τετράδι δὲ ὡς ἔοικε γεννηθεὶς ἄλλοις πονῶ· ἀλλ' ἐπειδὴ τύτες ἀναπεπτωκότας ὁρῶ, ἀναπεσῦμαι δὴ καὶ αὐτός. Οὐδὲ γὰρ κατὰ τὺς γεγηρακότας τῶν μύθων μὴ ἔχων δαιμόνιον ὠνῦμαι γρυλλίδιον. Ἔῤῥωσο.

πη. ΤΩΙ ΡΑΔΗΝΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ [5]).

Λάκωνές ποτε, βραχυλογίαν δὲ ἀκριβῶς ἀσκοῦντας οἶδας αὐτούς, μακρηγορύντων ἀνδρῶν ἐπιστολὰς εἰςδεξάμενοι κόμπες ῥημάτων φερέσας, ὡς εἰ ταδὶ καὶ τάδε συμβαίη καὶ συγκροτήσεσι στράτευμα καὶ τὴν ἵππον ὁπλίσεσι καὶ τὸν Εὐρώταν περαιωθήσονται καὶ τὺς λόχες πυκνώσεσιν, ἐνακαρεὶ [6]) τὴν Σπάρτην καὶ Λακεδαίμονα χειρωσάμενοι μὴ λόβοτον θήσεσιν, αἴκα μόνον ἀντέγραψαν. Ἄρτι δὲ καὶ αὐτὸς ἐξ ὀρθοπνοίας τῆς καὶ δυςπνοίας χειροτονηθεὶς Λάκων ἀκέσιος κατ' ἐκείνες, παῦρα κἂν οὐ λιγέως τῇ σῇ γραφῇ ἀντιγράφω. Κατ' ἦμαρ ἓν δύο σὰς ἐδεξάμην γραφάς, ηὐξάμην καὶ εὔχομαι, πᾶσι γνωστοῖς προςεῖπον ὡς ἀπὸ σοῦ πάντα τὰ τῇδέ σοι κατηνμάρισται ἄνευ μέντοι μονῆς τῆς σιγιλλιακῆς ὑποθέσεως,

1) A γράφειν.
2) A ἀφανῶς ἑπτά.
3) Cf. Hist. 416.
4) Cf. Hist. 417 et 418.
5) Cf. Hist. 419. 420. 421.
6) F. legendum ἐν ἀκαρεῖ sc. τῦ χρόνυ.

ἐπ' αὐτῇ γὰρ κινδυνεύεις μόνῃ [1]). Παύσεαι ἀγγελίης ἢ μὴ ὤφελλε γενέσθαι· τὰ τελευταῖα γὰρ ὁ γλυκὺς Νικοφόρος [2]) ὦ γῆ καὶ ἥλιε πνέει καὶ ἀμυδρῶς ὁρᾷ τὸν ἔσχατον ἥλιον.

πθ. ΤΟΙΣ ΣΕΒΑΣΤΟΙΣ ΤΟΙΣ ΥΙΟΙΣ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ [3]).

Οὐδὲν ἐμοὶ καὶ τῷ κυρίῳ Γρηγορίῳ, πανσέβαστοι· ἐγὼ μὲν γὰρ σεβαστικῶς τε καὶ σχετικῶς [4]) αὐτῷ διεκείμην, ἅτε σοφὸν καὶ εὐφυᾶ τὸν ἄνδρα εἰδώς, τὸ δέ γε συμβὰν περιπέτειά τίς ἐστι τύχης ἀκούσιος. Γραμματείου γάρ μοι προςενεχθέντος ἐγκεχαραγμένην ἡρωικὴν ἔχοντος μοῦσαν, οὐκ εἰδὼς ποῖος ἄρα εἴη ὁ ταύτης πατήρ, ἰάμβους τινὰς πρὸς τὰ παρεσυρμένα τῆς τέχνης ἀπεσχεδίασα. Ἐπεὶ δὲ τῆτες ἡμᾶς τῷ σοφῷ Ῥαιφερενδαρίῳ τις συμπαρὼν οἶμαι δὲ τῆς συμμορίας καὶ τῆς τριττύος τῶν κατὰ τὴν ἐκκλησίαν κυδοιδοπώντων ἀπόντας ἡμᾶς ἔκρινέ τε καὶ ἀπεφλαύριζε τοῦ στόματος ἀποκοτταβίζων ταυτί, ὡς μέσης ἡμετέρας συνθήκη τοιάδε τις καθεστήκοι. Ἄπελθε πλοιαρίδιον καὶ ἐλθὲ ἐφολκίδιον, δέομαι ὑμῶν [5]) βραχεῖαν τὴν αἴτησιν, τῷ μὲν κυρίῳ Γρηγορίῳ διδάξαι τὸ τῆς περιπετείας ἀκούσιον, ἐν κοινῷ δὲ τῷ συλλόγῳ εἰ δυνατὸν συμπαρόντος καὶ τοῦ Ῥαιφερενδαρίου, πρὸ πάντων δὲ καὶ τοῦ ἡμετέρου ἀνεψιοῦ τοῦ φιλοσόφου κυρίου Μιχαὴλ μοῦσαν ἰάμβων ἐμῶν οὐχ ὑπογείως πρὸ χρόνων δέ τινων συγγραφεῖσαν· ὡς ἂν κρησφύγετον μηδαμῇ τῷ διαβάλλοντι γένοιτο, ὑπαναγνῶναι καὶ κρῖναι πρῶτον μὲν εἰ ἀκριβῶς τὰ τῆς τέχνης τηροίη· ὥςπερ ἐκεῖνος ὁ Πολυκλείτου κανὼν ἢ οὓς ἀνδριάντας ἐδημιούργει Φειδίας, μηδ' ἄχρι τριχῶν φλεβαρίδων, ὥςπερ ὁ Νίκωνος [6]) ἵππος τὸ ἐπιλήψιμον ἔχουσα, εἴτε μὲν τἀναντίον· μετὰ δὲ τὸ τῆς τέχνης ἰσχνὸν καὶ εἰ [7]) δίαρμα καὶ τὸ μεγαλοπρεπὲς ἔχοι καὶ ὄγκον, σύν γε τῷ ὡραίῳ συντόμῳ καὶ πιθανῷ, καθάπερ ὁ Ἰσοκράτης καὶ Ἀλκιδάμας ὁ ῥήτωρ παρακελεύεται, ὁ Ἁλικαρνασσεύς τε καὶ Φιλόστρατος καὶ ὁ λοιπὸς μυριάριθμος ῥητόρων ἑσμός· εἴτ' οὖν πρὸς τὸ μειρακιῶδες καὶ χαμερπὲς κατασύρεται, ὥςπερ ἐκεῖνός φησι τὸ τοῦ Ἑρμοῦ ἀγοραῖον προτύπωμα, ὁ ἀνδριὰς ὁ ἀμόργινος.

---

1) B καὶ μόνῃ.

2) B νικηφόρος.

3) Cf. Hist. 422 usque ad Hist. 430.

4) B καὶ τεχνικῶς.

5) AB Schol.: Δέομαι αἴτησιν αἰτιατικῇ· Ἀττικῶς δέομαι ἐστησίως (sic) τῶν λοιπῶν διαλέκτων.

6) In Chil. vulg. μίκωνος, sed ibi quoque AB νίκωνος.

7) B εἰ καί.

φ. ΤΩΙ ΣΕΒΑΣΤΩΙ ΚΥΡΙΩΙ ΑΝΔΡΟΝΙΚΩΙ ΤΩΙ ΥΙΩΙ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ.

Πανσέβαστέ μοι σεβαστὲ καὶ αὐθέντα, χθὲς περὶ λύχνων ἀφὰς ἡ δύναμις ἀνηγγέλθη μοι τῶν γραφέντων μοι [1]· διὰ γὰν τῆς σῆς ἀντιλήψεως τῷ ἐμῷ μὲν αὐθέντῃ τῷ [2]) σῷ δὲ ἀδελφῷ συντόμως σταλήτω ἡ ἐπιστολὴ καὶ τὰ βράχιστά μοι στιχίδια, ἅπερ ἀπεσχεδίασα νῦν προτροπὴν τᾶ ἐξάρχε κεκτημένα καὶ ἔπαινον, ὅτι τὴν συμμορίαν τῶν ὧν ἡ γραφὴ δηλοῖ στιχουργεῖ. Ταῦτα σταλήτω νῦν, ὄφρα καὶ Ἕκτωρ ὁ διαβάλλων ἡμᾶς εἴσεται ἤ εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι [3]), καὶ ὡς ἡμεῖς μετὰ μελέτης οὐ γράφομεν καὶ βραχεῖς δέ τινες ἕτεροι στίχοι τούτοις σταλήσονται, ὓς καὶ βασανισάτωσαν τεχνικῶς.

φα. ΤΩΙ ΓΡΑΜΜΑΤΙΚΩΙ ΚΥΡΙΩΙ ΤΩΙ ΜΙΤΖΑΛΑΙ.

Τεταρταῖος ἤδη πονήρως εἶχον ἐγκατασκηψάσης μοι πάλιν τῆς κακῇ μοίρᾳ συνήθως μοι [4]) γεγοννίας ὀρθοπνοίας τῆς καὶ δυςπνοίας καὶ ἀπαγχέσης με, καὶ γραφὴν σὴν ἐδεξάμην ἀνιαράν· ἀλλ' εὖ ἴσθι ὡς ῥαδίως πρὸς τοὐναντίον ταῦτα μετατραπήσεται· νύξει γὰρ θεὸς τὴν καρδίαν τῆς βασιλίδος καὶ ἀντιποιήσεταί σε ὡς χρή· προσαγορεύασί σοι [5]) πάντες οἱ σοι συμφοιτῶντες, προςκυνεῖ δὲ καὶ ὁ Δημήτριος.

φβ. ΤΩΙ ΓΡΑΜΜΑΤΙΚΩΙ ΤΟΥ ΦΥΛΑΚΟΣ [6]).

Ἀρταξέρξης ὁ Πέρσης ἄλλος μὲν ἴσως ἀμφιγνοῶν ἢ καὶ παντελῶς ἀγνοῶν ἐκεῖνον ἂν κατεφαίνετο ἀνδρί σε σοφῷ κατὰ σὲ καὶ διὰ πάσης παιδείας ἰόντι, καὶ ᾧ ἔργον λειμῶνας λόγων περιεργάζεσθαι καὶ φρεωρυχεῖν ἐσαεὶ καὶ μεταλλεύειν τὰς βίβλας, ὡς ἂν ψηγματίσας ἐκεῖθεν πάντα τὸν ὄλβον αὐτῷ ταμιεύσαιτο, ὃν Ἑρμῆς ἐν πολυηράτοις τοῖς [7]) ἄντροις κατέθετο, ὅτ' ἐν Ἀρταξέρξης ὅτ' ἄλλος ἐδεὶς ἀπεδράσκασε τῶν ὅσοι ἀγλώσσῳ τῷ στόματι τύποι βοῶσι γραφῶν. Οὗτος ὁ Ἀρταξέρξης περιιὼν τὴν Περσίδα ἐπέστη ποτὲ ἀνδρὶ γεωργῷ πρὸς ποταμῷ αὐτεργᾶντι, ὃς δ' ὢν χρηστοήθης καὶ τὸν τρόπον ἐπιεικὴς ἐκ ἔχων ἐδὲν οἷς ξενίζειν εἰώθαμεν ἄνθρωποι, ὕδωρ κοίλαις χερσὶν ἐκ τᾶ ποταμᾶ ἀρυσάμενος ἐκείνῳ

---

1) AB Schol.: Ἤτοι ὧν ἐδήλωσα τῇ προγραφείσῃ ἐπιστολῇ.
2) B om. artic. τῷ.
3) Hom. Il. VIII, 110 seq.
4) A om. μοι et καὶ ante δυςπνοίας.
5) AB superscr. σε.
6) Cf. Hist. 431 usque ad Hist. 441.
7) A om. artic. τοῖς.

προςήνεγκε δῶρον ἔτ' ἀναγκαῖον ἔτι οἱ τότε χρειῶδες. Οὐ γὰρ ἐζήτει πιεῖν ἔτ' ἄλλως λυσιτελέστατον· ὁ δὲ ὅμως ἐδέξατό τε καὶ ἔπιεν εὖ μάλα ἀσμένως καὶ τῆς προαιρέσεως τὸν ἄνδρα τεθαύμακεν. Εἰ γῦν ἀνὴρ βάρβαρος βαρβάρε ἀνδρὸς λαβὼν δωρεὰν ἔτ' ἀναγκαίαν ἔτε συνοίσεσαν ἔτως ἐκείνῳ συνεκράθη [1]) τὰ πρὸς στοργὴν, πῶς οἴει ἡμᾶς καὶ ἐς πόσον τὸν σχετικόν σοι φιλίας ἀναῤῥιπίσαι σπινθῆρα καὶ οἷον; Ἀσθματίζοντι γάρ μοι καὶ ἀγχομένῳ ἐξ ὀρθοπνοίας τῆς καὶ δυςπνοίας αὐτὸς ἅτε ὄντως τὴν ὄντως φιλοσοφίαν ἀσκῶν τὴν πρὸς θεὸν ἐμφέρειαν φέρουσαν καὶ κηδεμονικῶς διατεθεὶς πρὸς ἡμᾶς καὶ ὥςπερ ὑπὲρ σαυτᾶ ὑπὲρ ἡμῶν καταῤῥωδηκὼς μὴ τῇ ῥηθείσῃ νόσῳ ἀγχονισθείημεν, δῶρον ἡμῖν λυσιτελές τε καὶ ἀναγκαῖον κατά γε τὸ δοκεῖν τέως πολλοῖς μᾶλλον δὲ τοῖς Ἀσκληπιάδαις ἀπέσταλκας. Τὸ δὲ ἄρα ἦν ὁ Ἀέτιος, πολλὰ μὲν καὶ ἄλλα τῶν παλαιῶν ἰατρῶν συνοπτικῶς γράφων ἀλέξια, ναὶ μὴν καὶ τοῦ νοσήματος ὅπερ ἡμᾶς ὡς ἔφην σφοδρῶς ἐκπιέζει· οὕτως ἡμᾶς ἀλύτως τῷ τῆς σῆς ἀγαπήσεως σπαρτίῳ συνέδησας. Ἀλλ' ἔν τι καὶ λελύπηκας τῇ σταλείσῃ γραφῇ σε, τήν τε γὰρ ἀληθίζεσαν φιλοσοφίαν ἠδίκηκας ἐν αὐτῇ καὶ ὑπὲρ τὰ ἐσκαμμένα τῆς πιθανότητος ὑπερήλλω [2]) ῥητόρων θεσμὰ κατὰ τὸν ἐν ἅλμασιν ἐκεῖνον θρυλλέμενον Φαύλλον καὶ πρὸς ποιητικὴν αὐτονομίαν ἐσύρης. Ὡς γὰρ Περσεῦσιν ἐκείνη καὶ Βοῤῥεάδαις [3]) καὶ Βελλεροφόνταις ἐφίπποις, μᾶλλον δὲ ἡ κωμῳδία Τρυγαίοις τε καὶ Κανθάροις, ἔτω καὶ αὐτὸς ἐγκωμιάζων τὸ τάριχος τὸν ἐρανὸν ὑπεστόρεσας [4]). Ἀλλ' ἵλεως Θεός σοι τοῦ ἐγχειρήματος ἀγάπης ἀῤῥήτῳ πτερῷ Δαιδάλους τινὰς καὶ Ἰκαρίες πτερώσαντι καὶ τὰ ἐρανᾶ χωρία τέτοις θέντι σοι βάσιμα, ὁ δὲ Ἀέτιος εὖ ἴσθι ὁπόσα ἐκ παλαιῶν ἀνδρῶν περὶ τῆς κατεχέσης με νόσε συνοψίσας ἐπεξειργάσατο. Οὐκ ἀστείας γονῆς δοκεῖ μοι τυγχάνειν κυήματα ἐκ συναφείας τεχθέντα θήλεός τε καὶ ἄῤῥενος καὶ πρὸς τὸν φυσικὸν τῆς ἀληθείας ἀντιβλέποντα ἥλιον, ἀλλ' ἢ θηλυγόνα μόνον καὶ γυπιαῖα καὶ ὑπηνέμια καὶ ἄλλα ἄλλοις καὶ ἀλλήλοις μαχόμενα καὶ εἰ λυσιτελές τι δυνηθεῖεν ἐργάσασθαι μετά γε πόσιν γαλάκτων ὀνείων καὶ θείων ἀπύρων τῶν ὑπερθέρμων καὶ αὖ ὀπίων τῶν ὑπερψύχρων καὶ ἀσκαμωνίας καὶ κνιδῶν παρατρίψεως περὶ τὸν τράχηλον, αἷς τῶν ἰατρῶν τοὺς διδύμους ᾐρούμην ἐμπαρατρίβεσθαι· ἀλλ' οὖν οὐχ ὁμολογεμένως ἀμφιβόλως δὲ καὶ διδισταγμένως ὥςπερ καὶ ἐτός φησιν ἐστιν οὗ καὶ ἰάσαιντο. Ἐγὼ δὲ

1) B συνανεκράθη.
2) In Chil. vulgo ὑπερήλω, sed A ὑπερήλλω.
3) B βυρεάδαις.
4) AB Schol.: Παροιμία ἐπὶ τῶν εὐτελῆ μεγαλυνόντων.

πεποίηκας, δέσποτα, τὸν πρὶν Σέβλαδον νῦν δὲ Θεόδωρον ἀπέσταλκας ἡμῖν, ἀντ' ὠφελείας ζημίαν. Πρῶτα μὲν γὰρ διὰ τὸ τῆς ἡλικίας τέτε βραχὺ καίπερ τὲ δελεύσοντος ἡμῖν κεχρήμενοι δελεύομεν ἢ δελευόμεθα· δεύτερον ἕνα μόλις τρέφειν δυνάμενος νῦν καὶ τἕτον δεύτερον προςλαβὼν ὀρφανοτροφῶ καὶ μὴ ἔχων εὐμάρειαν πόρων τῶν ζωαρκῶν ἀπεμπολῶ με διὰ τέτες τὰ χρειωδέστατα· τρίτον ἀξυνημονῶν με τῆς γλώττης, βαρβαρίζειν γὰρ αὐτὸς ἐκ ἐπίσταμαι, δεινὰ ποιεῖ καὶ γελοῖά μοι· τέταρτον οὐ Ῥὼς ἀλλὰ τῷ γένει Μυσός ἐστι· πέμπτον ἀριστόχειρ· πρὸς τούτοις ἕκτον μανθάνειν οὐ θέλει, τρώγειν δὲ βάλεται· ἕβδομον ἀῤῥωςικώτατός[1]) ἐστι καὶ θανατιῶν καὶ τὸν ἕτερον ἐκδιδάσκει τοῦτο ποιεῖν· κεῖνται γὰρ καὶ ἀμφότεροι ἔκτοτε δεινῶν ἀῤῥωστοῦντες. Τὸ δέ γε πυξίον τοῖς γλύψασιν ἦν προςφυὲς ἀνδράσι πίνειν ἢ γράφειν εἰδόσιν· ἑνὸς γὰρ γραφικἕ δονακιδίε καὶ τέτε μόλις χώρησιν εἶχεν. Ἀλλὰ ταῦτα μὲν ἀστεΐσματα· προςκυνῶ δὲ διὰ τῆς παρέσης γραφῆς με τὴν σὴν μεγίστην ἁγιωσύνην, κατασπάζομαι δὲ καὶ πάντας τὲς ὑπ' αὐτήν· ἣν καὶ δοίη μοι θεὸς εἰςιδεῖν τάχιον, ἣν καὶ φρερoίη μακροῖς ἐν χρόνοις ἀνωτέραν δὲ δυςχερῶν τῶν ὁποίων δήποτε.

πα. ΤΩΙ ΝΟΣΟΚΟΜΩΙ ΤΟΥ ΙΑΤΡΕΙΟΥ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ[2]).

Οὐκ οἴομαι σοφωτάτη ψυχὴ τῷ ὄντι καὶ πρὸς ἀλήθειαν, ἀλλ' ἐριστικώτερον καὶ πειραστικώτερον τὸν λόγον προάγοντα[3]) λέγειν σε ὡς ὁ Γαληνὸς, ὁ καὶ τῆς σῆς τέχνης καθηγητὴς, ἐν χρόνοις καθεστηκὼς ἦν τοῖς τἕ σωτῆρος ἐνανθρωπήσεως. Οἶμαι γὰρ ἐκ ἠγνόηκας ὡς ἦν τοῖς Ἀντωνίνε χρόνοις τἕ Καρακάλε δεδιδαγμένος τῷ Πέλοπι. Εἰ δὲ Τζέτζε γαστρὸς ἀναπλάσματα ταῦτα νομίζεις καὶ λέγεις ὥςπερ φασί, γνῶθι καὶ ἀκριβέστερον ἐκ τεκμηρίε καὶ δείγματος, ὡς τοῖς ἰσχνογάστορσιν ἀνθρώποις καὶ οἷς ἡ ἀλήθεια πολλῷ χρυσἕ τιμιωτέρα καθέστηκε, γαστρὸς ἐκ εἰσιν ἀναπλάσματα· ἀνέγνως οἶδα καλῶς τὰ Ἀνδρομάχε θηριακὰ, ἃ προφέρει Γαληνὸς ὡς αὐτἕ ἀρχαιότερα. Ὁ δ' Ἀνδρόμαχος ἐν χρόνοις ἦν τοῖς τἕ Νέρωνος, ὡς παριστῶσι τὰ ἔπη·

Κλῦθι πολυθρονίε βριαρὸν σθένος ἀντιδότοιο
Καῖσαρ ἀδειμάντε δῶτορ ἐλευθερίης.
Κλῦθι Νέρων ἱλαρήν μιν ἐπικλείεσι γαλήνην.

---

1) B ἀῤῥωστητικώτατός.
2) Cf. Hist. 397.
3) B προσάγοντα.

Εἰ γοῦν ὁ Γαληνὸς οὕτω μέμνηται τῶν ἐν τοῖς χρόνοις ὄντων τοῦ Νέρωνος ὡς παλαιοτέρων αὐτȣ̃, πῶς ἄρα τοῖς ἀνωτέρω χρόνοις ὑπῆρχε, πῶς δὲ ταῦτα γαστρὸς ἡμῶν εἰσὶν ἀναπλάσματα; Ἀλλ' ἴσθι ἀκριβέςατα ἐξ αὐτῶν, ὡς οὔτε Γαληνὸς τοῖς ἀνωτέρω χρόνοις ὑπῆρχεν, οὐθ' ἡμεῖς ἀπὸ γαστρὸς ἀναπλάττομεν, τῆς ἀληθείας εἴπερ τινὲς ἐρασταὶ καθεστηκότες διάπυροι. Ἔρρωσο.

πβ. *ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΔΡΙΣΤΡΑΣ* [1].

Τὰ γράμματα Παλαμήδης ἐφεύρηκε [2], *θειότατε δέσποτα, ἄλλων* [3] *μὲν ἕνεκα, ȣ̓χ ἥκιστα δὲ καὶ ἵν' αἱ ψυχαὶ τὸ ἑαυτῶν ποιεῖν ἀμέσως εἰργόμεναι τῷ πάχει καὶ τῇ ἐπιπροςθήσει τοῦ σώματος δι' αὐτῶν ἐμμέσως ποιοῖεν καὶ ὁμιλοῖεν ἀλλήλαις. Σὺ δὲ ȣ̓κ οἶδ' ὅτι ἄρα τὸ αἴτιον κατὰ τȣ̀ς ἐνιαυτȣ̀ς ἐκείνȣς* [4] *τȣ̃ Μέτωνος γράφεις, ἵνα μὴ παντελῶς φαίην, οὐ γράφεις ἡμῖν. Ἂν οὖν οἱ γραμματοκομισταὶ τὰς ἀμφοτέρων γραφὰς ἀμφοῖν ἡμῖν ȣ̓κ ἐγχειρίζωσιν ἐπικρύπτοντες καὶ ἄμφω ἡμεῖς αἰτίας ἐκτός· ἂν δὲ τῇ σῇ ἁγιότητι γράμματα μὲν τῆς ἡμῶν ȣ̓θενείας ἀποκομίζοιντο ἱκετηρίαν ἔχοντα καὶ δεόμενα τί ποιητέον καθέστηκε περὶ τοῦ Σεβλάδου καὶ πρὸς τίνα τȣ̃τον παραπεμπτέον, σὺ δὲ οὐ γράφεις ἡμῖν καὶ τȣ̃ τοιούτου ῥύῃ δασμοῦ, οὐκ ἀπολύῃ αἰτίας, οὕτω κἂν ἄκων τρύχων ἡμᾶς ἀλυσιτελέσιν ἐπιφορτίσμασιν, οὐδεὶς γὰρ ἄκων εὐεργετεῖται καὶ ἀπεύχεται πᾶς λυπρὸν εὐδαίμονά οἱ γενέσθαι τὸν βίον, ἐγὼ δὲ πλέον ἁπάντων· ἐμοὶ γὰρ ἀδωροτάτη λίαν* [5] *καθέστηκεν ἡ ψυχή, βραχὺ δὲ φιλοῦντος γραμμάτιον μυρίων τε δωρεῶν καὶ θησαυρῶν ὑπερτίθεται. Ὁ τῆς εἰρήνης Θεὸς φυλάττοι τὴν σὴν μεγίστην ἁγιωσύνην καὶ τάχιον κεχαρμένην μοι δοίη ταύτην ἰδεῖν καὶ προςκυνῆσαι καὶ κατασπάσασθαι.*

---

1) Cf. Hist. 398. 399. 400. 401.

2) AB Schol.: *Οὐ Ναυπλίȣ παῖς, ȣ̓δὲ ὁ Κάδμος, ὡς ὁ λόγος, εὗρεν ἐν Ἕλλησι τὰ γράμματα· γράφει δὲ ȣ̃τως, ὥσπερ εἰσὶν οἱ λόγοι· Τζέτζης ἐγὼ γὰρ καὶ πρὸ τῶν Κάδμȣ χρόνων χρησμὸν παλαιὸν ἐκτεθειμένον φράτην* (sic Codd. *ἀττικοῖς …. ἀδοθέντος*) *Κάδμῳ δοθέντος τῷ προκειμένῳ λόγοις· ἔχει δ' ὁ χρησμὸς ὧδε τοῖς λόγοις λέγων.*

Χρησμός·
Φράζεο δὴ τὸν μῦθον Ἀγήνορος (*ἀγήνωρος* AB) *ἔκγονε Κάδμε,*
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν
Καὶ τὰ λοιπὰ τοῦ χρησμοῦ.

3) B *καὶ ἄλλων.*

4) B *ἐκείνου.*

5) B *ἀδωροτάτη πάντων.*

πγ. ΤΩΙ ΑΔΕΛΦΩΙ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ ΤΩΙ ΕΠΙΣΚΟΠΩΙ ΑΛΙΣΑΝΔΟΥ ΚΩΝΣΤΑΝΤΙΝΩΙ ΤΩΙ ΦΙΛΟΣΟΦΩΙ [1]).

Ἀπονεναρκηκὼς ἐγὼ καὶ νωχελὴς τὰ πρὸς λόγȣς θειότατε δέσποτα καὶ κατεῤῥᾳστωνευμένον καὶ ἄνετον βιώσκειν τὸν βίον αἱρούμενος καὶ βίβλων ἐκτὸς ἀναγνώσεως, διάπειρα δὲ καὶ δοκιμὴ καὶ βάσανος ἀκριβὴς ἡ παρ' ἡμῶν τῆς βίβλȣ καθέστηκεν αἴτησις, χρυσογνωμονικώτερον βασανίζȣσα τὴν περὶ ἡμᾶς σχέσιν τῆς σῆς ἁγιότητος, ὡς ἂν εἰδείη τρανότερον εἴτ' ἓν κατ' ἐκεῖνον τὸν Κολοφώνιον ἀποστίλβει χρυσὸν, εἴτε τί πȣ ταύτῃ καὶ καλκιζούσης παραμέμιγε φύσεως. Τοιοῦτό τί ποτε καὶ ὁ Πειρίθȣς πρὸς τὸν Θησέα εἰργάσατο Μαραθωνόθεν ἐκείνȣ γενομένȣ βόας ἐλάσας. Τοιαύτη μὲν ἡμῶν ἡ διάπειρα καὶ ἡ βάσανος, ὡς δὲ ὑπερεκστίλβȣσαν ἔγνωμεν ἄργυρόν τε τὸν ἐξ Ἀλύβης τόν τε Κολοφώνιον καὶ Αἰγύπτιον καὶ τὸν Ἰνδὸν μυρμηκίαν ἐκεῖνον χρυσὸν καὶ ἀσυγκρίτως αὐτῇ τῶν ἄλλων ὄντες ἁπάντων ὑπερτιθέμενοι ἐπεγνώκειμεν, δι' ἡμᾶς γὰρ καὶ ἐφ' ἡμῖν μόνοις παρέβης θεσμὰ, δι' ἡμᾶς νόμȣς παγίȣς παρέθραυσας, ȣ̔̀ς αὐτὸς νομοθετήσας καὶ γράψας ἀνέθȣ, ἀλλ' ȣ̓κ ἐπ' ἀγορᾶς ἐπιξύλῳ τῷ πίνακι, ἐπὶ [2]) χρυσαῖς δὲ σῆς ψυχῆς κύρβεσιν, ὡς ἐπὶ μόνῃ τῇ Ἀριστοπατείρᾳ ποτὲ οἱ ἑλλανοδίκαι τὸν νόμον τῶν Ὀλυμπίων καὶ ἐπὶ τῷ Βρασίδᾳ οἱ Λάκωνες, τὴν [3]) μὲν οἱ μὲν παρακεχωρηκότες θεάσαθαι τὸν ἀγῶνα, τῷ δὲ οὕτοι τȣ̀ς ἄλλȣς ῥιψάσπιδας τιμωρȣ́μενοι καὶ στέφανον δόντες, ἀνθ' ὧν ἐκείνȣ τῶν ὤμων ποτὲ ἡ ἀσπὶς ἐξεχύθη πρὸς θάλασσαν, ἀνεπτερώθην τοῖς σοῖς ὠκυπτέροις πολλῷ πλέον ἢ οὓς ὁ μῦθος ἐπτέρωσε καινοτέροις πτεροῖς, Δαίδαλόν τε τὸν Εὐπαλάμου καὶ τὸν Περσέα καὶ Βορεάδας καὶ τὸν Βελλεροφόντην ἐκεῖνον ᾧ μέχρι καὶ ἵππȣ βαδίσεως ὁ ȣ̓ρανὸς ὑπεστόρετο καὶ εἴ τινά πȣ ἄλλον τὰ μυθικὰ πτερὰ ὑπεπτέρωσε, καὶ νῦν ὑπερφρονῶ τὴν σφαῖραν τὴν ἡλιῶτιν, ὑπερβαίνω τὴν Ἄρεος καὶ τὴν Διὸς παρελαύνω, ἀβρύνομαι πλέον ἤπερ ὁ Φάλαρις, ἀνθ' οὗπερ αὐτῷ παρ' ὅλον ἔκμηνον χρόνον ὁ Πυθαγόρας διέτριψε, κομπάζω μᾶλλον ἢ ἐπὶ νίκῃ τῇ ἐπὶ Λεύκτροις καὶ Μαντινείᾳ Ἐπαμεινώνδας ἐκεῖνος. Δύο κἀμοὶ γὰρ τοιαῦτα νῦν ὡς πρὶν ἐκείνῳ τρόπαια ἔστησαν, τουτί τε τὸ τῆς βίβλου καὶ ἡ γεγοννῖά ποτε ἑκȣσία τε καὶ ἀβίαστος τȣ̃ σεβαστȣ̃ Ταρωνίτȣ τȣ̃ πολυάρχȣ ὑπόσχεσις, ἣ τρεῖς μυροπώλας μοι ἐργαστηριακὰς οἰκήσεις [4])

1) Cf. Hist. 402 usque ad Hist. 412. In B epistola longiorem titulum prae se fert: τȣ̃ ἁγιωτάτȣ μητρ. ἐφ. τῷ ἐπ. ἀλ. κυρίῳ κωνστ. φ.

2) A om. ἐπί, quod in Chil. exstat.

3) B τῇ.

4) AB Schol.: Ζήτει τὸ ληφθὲν τῷ βεβήλῳ παιδίῳ. In B om. ἐργαστηριακὰς οἰκήσεις.

καὶ πρὸς διάρκειαν πόρε ζωῆς ὀφφίκιον ἐχαρίζετο. Οὕτω δύο τοιέτων στάντων τροπαίων μοι, ὅτω δύο νόμων ὀχυρωτάτων ἐπ' ἐμοὶ καὶ μόνῳ παραβαθέντων παρὰ τῶν θεμένων [1]) αὐτὲς ἀβρύνομαί τε καὶ κομπάζω καὶ τὴν ὑμῶν προςκυνῶ ἁγιότητα τοσὅτον ἁπάντων [2]) τῶν ἄλλων ὑπερτιθεμένην ἐμέ. Ἣν συντηροίη θεὸς μακροχρόνιον εἰς πολλῶν λυσιτέλειαν.

πδ. ΤΩΙ ΘΕΟΦΙΛΕΣΤΑΤΩΙ ΙΕΡΟΜΝΗΜΟΝΙ [3]).

Ἤλγησα μὲν, ἤλγησα καὶ τὴν ψυχὴν καιρίως εὖ ἴσθι ἐδήχθην, θεοφιλέστατε δέσποτα, τοῖς καινοτομήμασιν ἃ καινοτομεῖ οὗ ὁ ἐμβρόχθιος λίθος, τὸν λίθον ἐκεῖνον εἰκόνιζε τῆς Πανσανίε μητρὸς, περὶ οὗ καὶ τὰ προφητικά φησιν λόγια· ὦ οἱ ποιμένες τῦ Ἰσραὴλ, διεφθείρατε τὴν διαθήκην τῦ λευὶ, ὃν ἐξεσίᾳ ὀνείρων κἀγὼ πρώην ἐθεασάμην πρόσωπον σὸν πεφυκότα κεραμεοῦν κραῦρον καὶ εὔθρυπτον· ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνοιτο [4]) γένεθλα, τὴν πάντα γῦν βόσκεσαν ἡλίε φλόγα αἰδείσθω τοιόνδ' ἄγος ἀκάλυπτον τρέφειν. Ἐγὼ δὲ τὸν ἄνδρα δρῶντα τοιαῦτα ἐκ αἰτιῶμαι τοσὅτον ὅσον τὴν ἱερὰν γερεσίαν τοῖς πραττομένοις ἐφησυχάζεσαν. Ὁ τῆς εἰρήνης θεὸς τὸ τῶν σκανδάλων καθέλοι μεσότοιχον καὶ τοῖς θλιβομένοις παράκλησις γένοιτο.

πε. ΤΩΙ ΚΥΡΙΩΙ ΓΕΩΡΓΙΩΙ ΤΩΙ ΚΑΛΔΩΝΙ.

Ὡς τὴν γραφὴν ἀνὰ χεῖρας τὴν σὴν ἐδεξάμην, γλυκύτατον τέκνον πνεύματί μοι καὶ λόγοις γεγεννημένον, δυσὶν ἀντιθέτοις κατὰ ταὐτὸ περιεσχέθην τοῖς πάθεσιν· ἥσθην τε γὰρ ἅμα καὶ ἤλγησα ὥςπερ ἐκεῖνος ὁ Ξέρξης ποτὲ, ὁπότε καινοτέρᾳ πορείᾳ τὸ πέλαγος διαπορθμεύεσθαι μέλλων τὸ Ἑλλησπόντιον ἐπὶ τὸν θῶκον ἐκεῖνον τὸν πέτρινον ἀνέβη τὸν ὑψηλόν· ἰδὼν γὰρ ἐκεῖθεν τὴν μυριάριθμον, μᾶλλον δὲ ἀνάριθμον αὐτῦ στρατιὰν ἥσθη ὡς οἷον εἰκὸς βασιλέα τοιαύτης στρατιᾶς ἐγκατάρχοντα, καὶ ἅμα τὲς ὀφθαλμὲς μεστὲς δακρύων ἀπέφηνεν, εἰς νῦν θέμενος τῶν ἀνθρωπείων πραγμάτων τὸ βραχυχρόνιον. Οὕτω κἀγὼ κατ' ἐκεῖνον τὸν Ξέρξην, τέκνον γλυκύτατον, ἥσθην ἅμα καὶ ἤλγησα τὴν σὴν γραφὴν ἀνὰ χεῖρας λαβών· ἥσθην μὲν ὅτι φιλτάτε μοι τέκνε γραφὴν ἐδεξάμην, ἤλγησα δὲ ὡς ἐπινόσως ἐκ ταύτης ἀνέμαθον ἔχειν σε, κἂν εὐθέως με πάλιν τῷ ἄχθει τῆς λύπης ἐμβαρυνόμενον αὐτὴ ἀνεκέφισε, ῥᾷότερον ἤδη ἔχειν σε

1) B θεωμένων.
2) B om. ἁπάντων.
3) Cf. Hist. 413. 414. 415.
4) In Chil. καταισχύνεσθε et αἰδεῖσθε.

καταγγέλλεσα. Εἴη δὲ τῇ τῦ Θεῦ φιλανθρωπίᾳ καὶ ἀγαθότητι καὶ τελέως ἐξάντη γεγονέναι τῆς νόσυ καὶ πρὸς τὴν προτέραν ὑγιεινὴν ἐπανακάμψαι κατάστασιν. Γραφὴν δὲ ἀγραφίας εἰς μάτην ἡμῖν ἐπιγράφεις γράφων ὡς γράφεις ἡμῖν· ἡμεῖς δέ σοι ἐκ ἀντιγράφομεν, καὶ τίνι γὰρ ἂν γράψαιμεν ἄλλῳ, εἰ μὴ τῷ συγκρίτως ὑπερκειμένῳ καὶ φιλουμένῳ τῶν λοιπῶν μοι ἁπάντων ὁμιλητῶν. Ἀπόλυε ἂν ἡμᾶς τῆς τοιαύτης αἰτίας ἀναιτίυς καθεστηκότας· οὐδὲ μίαν γὰρ μέχρι νῦν ἐδεξάμην γραφήν σου, ὑπαιτίους δὲ ποιῦ τὺς μὴ τὰς σὰς γραφάς [1]) μοι ἀποκομίζοντας. Ἡ τῦ Θεῦ φιλανθρωπία καὶ ἀγαθότης ἀξιώσαι ἡμᾶς ἀλλήλυς ἰδεῖν ὑγιῶς ἔχοντας καὶ ἀλύπως· σὺ δὲ τοὺς ἀφανῶς ζῆν [2]) ἑλομένους μεγαλοεπιφανεστάτους μὴ ἐπίγραφε.

πς. ΤΩΙ ΣΕΒΑΣΤΩΙ ΚΥΡΙΩΙ ΘΕΟΔΩΡΩΙ ΤΩΙ ΚΑΜΑΤΗΡΩΙ [3]).

Ἐχέφρονος πρᾶγμα ποιεῖς καὶ φύσει Θηραμένυς, τὰ σὰ μὲν αὐτὸς ἀπολαμβάνων, ἐκ ἀποδιδὺς δὲ τὰ ἀλλότρια. Ἔῤῥωσο.

πζ. ΤΩΙ ΑΥΤΩΙ [4]).

Ἀῤῥώστως ἔχω καὶ ἀσθενῶς καὶ πόνοις ἐπιβάλλειν οὐ σθένω, τετράδι δὲ ὡς ἔοικε γεννηθεὶς ἄλλοις πονῶ· ἀλλ' ἐπειδὴ τύτυς ἀναπεπτωκότας ὁρῶ, ἀναπεσῦμαι δὴ καὶ αὐτός. Οὐδὲ γὰρ κατὰ τὺς γεγηρακότας τῶν μύθων μὴ ἔχων δαιμόνιον ὠνῦμαι γρυλλίδιον. Ἔῤῥωσο.

πη. ΤΩΙ ΡΑΔΗΝΩΙ ΚΥΡΙΩΙ ΙΩΑΝΝΗΙ [5]).

Λάκωνές ποτε, βραχυλογίαν δὲ ἀκριβῶς ἀσκῦντας οἶδας αὐτοὺς, μακρηγορέντων ἀνδρῶν ἐπιστολὰς εἰςδεξάμενοι κόμπυς ῥημάτων φερέσας, ὡς εἰ ταδὶ καὶ τάδε συμβαίη καὶ συγκροτήσεσι στράτευμα καὶ τὴν ἵππον ὁπλίσεσι καὶ τὸν Εὐρώταν περαιωθήσονται καὶ τὺς λόχυς πυκνώσεσιν, ἐνακαρεὶ [6]) τὴν Σπάρτην καὶ Λακεδαίμονα χειρωσάμενοι μὴ λόβοτον θήσεσιν, αἴκα μόνον ἀντέγραψαν. Ἄρτι δὲ καὶ αὐτὸς ἐξ ὀρθοπνοίας τῆς καὶ δυςπνοίας χειροτονηθεὶς Λάκων ἀκύσιος κατ' ἐκείνυς, παῦρα κἂν οὐ λιγέως τῇ σῇ γραφῇ ἀντιγράφω. Κατ' ἦμαρ ἓν δύο σὰς ἐδεξάμην γραφὰς, ηὐξάμην καὶ εὔχομαι, πᾶσι γνωστοῖς προςεῖπον ὡς ἀπὸ σοῦ πάντα τὰ τῇδέ σοι κατηνμάρισται ἄνευ μέντοι μονῆς τῆς σιγιλλιακῆς ὑποθέσεως,

1) A γράφειν.
2) A ἀφανῶς ἑπτά.
3) Cf. Hist. 416.
4) Cf. Hist. 417 et 418.
5) Cf. Hist. 419. 420. 421.
6) F. legendum ἐν ἀκαρεῖ sc. τῦ χρόνυ.

ἐπ' αὐτῇ γὰρ κινδυνεύεις μόνη [1]). Παύσεαι ἀγγελίης ἢ μὴ ὤφελλε γενέσθαι· τὰ τελευταῖα γὰρ ὁ γλυκὺς Νικοφόρος [2]) ὦ γῆ καὶ ἥλιε πνέει καὶ ἀμυδρῶς ὁρᾷ τὸν ἔσχατον ἥλιον.

πθ. ΤΟΙΣ ΣΕΒΑΣΤΟΙΣ ΤΟΙΣ ΥΙΟΙΣ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ [3]).

Οὐδὲν ἐμοὶ καὶ τῷ κυρίῳ Γρηγορίῳ, πανσέβαστοι· ἐγὼ μὲν γὰρ σεβαστικῶς τε καὶ σχετικῶς [4]) αὐτῷ διεκείμην, ἅτε σοφὸν καὶ εὐφυᾶ τὸν ἄνδρα εἰδώς, τὸ δέ γε συμβὰν περιπέτειά τίς ἐστι τύχης ἀκούσιος. Γραμματείου γάρ μοι προσενεχθέντος ἐγκεχαραγμένην ἡρωικὴν ἔχοντος μοῦσαν, ἐκ εἰδὼς ποῖος ἄρα εἴη ὁ ταύτης πατὴρ, ἰάμβες τινὰς πρὸς τὰ παρεσυρμένα τῆς τέχνης ἀπεσχεδίασα. Ἐπεὶ δὲ τῆτες ἡμᾶς τῷ σοφῷ Ῥαιφερενδαρίῳ τις συμπαρὼν οἶμαι δὲ τῆς συμμορίας καὶ τῆς τριττύος τῶν κατὰ τὴν ἐκκλησίαν κυδοιδοπώντων ἀπόντας ἡμᾶς ἔκρινέ τε καὶ ἀπεφλαύριζε τῦ στόματος ἀποκοτταβίζων ταυτὶ, ὡς μέσης ἡμετέρας συνθήκη τοιάδε τις καθεστήκοι. Ἄπελθε πλοιαρίδιον καὶ ἐλθὲ ἐφολκίδιον, δέομαι ὑμῶν [5]) βραχεῖαν τὴν αἴτησιν, τῷ μὲν κυρίῳ Γρηγορίῳ διδάξαι τὸ τῆς περιπετείας ἀκύσιον, ἐν κοινῷ δὲ τῷ συλλόγῳ εἰ δυνατὸν συμπαρόντος καὶ τῦ Ῥαιφερενδαρίυ, πρὸ πάντων δὲ καὶ τῦ ἡμετέρυ ἀνεψιῦ τῦ φιλοσόφυ κυρίυ Μιχαὴλ μῦσαν ἰάμβων ἐμῶν ἐχ ὑπογείως πρὸ χρόνων δέ τινων συγγραφεῖσαν· ὡς ἂν κρησφύγετον μηδαμῇ τῷ διαβάλλοντι γένοιτο, ὑπαναγνῶναι καὶ κρῖναι πρῶτον μὲν εἰ ἀκριβῶς τὰ τῆς τέχνης τηροίη· ὥςπερ ἐκεῖνος ὁ Πολυκλείτου κανὼν ἢ οὓς ἀνδριάντας ἐδημιύργει Φειδίας, μηδ' ἄχρι τριχῶν φλεβαρίδων, ὥςπερ ὁ Νίκωνος [6]) ἵππος τὸ ἐπιλήψιμον ἔχυσα, εἴτε μὲν τἀναντίον· μετὰ δὲ τὸ τῆς τέχνης ἰσχνὸν καὶ εἰ [7]) δίαρμα καὶ τὸ μεγαλοπρεπὲς ἔχοι καὶ ὄγκον, σύν γε τῷ ὡραίῳ συντόμῳ καὶ πιθανῷ, καθάπερ ὁ Ἰσοκράτης καὶ Ἀλκιδάμας ὁ ῥήτωρ παρακελεύεται, ὁ Ἁλικαρνασσεὺς τε καὶ Φιλόστρατος καὶ ὁ λοιπὸς μυριάριθμος ῥητόρων ἑσμός· εἴτ' ἓν πρὸς τὸ μειρακιῶδες καὶ χαμερπὲς κατασύρεται, ὥςπερ ἐκεῖνός φησι τὸ τῦ Ἑρμῦ ἀγοραῖον προτύπωμα, ὁ ἀνδριὰς ὁ ἀμόργινος.

---

1) B καὶ μόνη.
2) B νικηφόρος.
3) Cf. Hist. 422 usque ad Hist. 430.
4) B καὶ τεχνικῶς.
5) AB Schol.: Δέομαι αἴτησιν αἰτιατικῇ· Ἀττικῶς δέομαι ἐστησίως (sic) τῶν λοιπῶν διαλέκτων.
6) In Chil. vulg. μίκωνος, sed ibi quoque AB νίκωνος.
7) B εἰ καί.

φ. ΤΩΙ ΣΕΒΑΣΤΩΙ ΚΥΡΙΩΙ ΑΝΔΡΟΝΙΚΩΙ ΤΩΙ ΥΙΩΙ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ.

Πανσέβαστέ μοι σεβαστὲ καὶ αὐθέντα, χθὲς περὶ λύχνων ἀφὰς ἡ δύναμις ἀνηγγέλθη μοι τῶν γραφέντων μοι [1]· διὰ γὰρ τῆς σῆς ἀντιλήψεως τῷ ἐμῷ μὲν αὐθέντῃ τῷ [2]) σῷ δὲ ἀδελφῷ συντόμως σταλήτω ἡ ἐπιστολὴ καὶ τὰ βράχιστά μοι στιχίδια, ἅπερ ἀπεσχεδίασα νῦν προτροπὴν τὰ ἐξάρχε κεκτημένα καὶ ἔπαινον, ὅτι τὴν συμμορίαν τῶν ὧν ἡ γραφὴ δηλοῖ στιχουργεῖ. Ταῦτα σταλήτω νῦν, ὄφρα καὶ Ἕκτωρ ὁ διαβάλλων ἡμᾶς εἴσεται ἢ εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι [3]), καὶ ὡς ἡμεῖς μετὰ μελέτης οὐ γράφομεν καὶ βραχεῖς δέ τινες ἕτεροι στίχοι τούτοις σταλήσονται, ὃς καὶ βασανισάτωσαν τεχνικῶς.

φα. ΤΩΙ ΓΡΑΜΜΑΤΙΚΩΙ ΚΥΡΙΩΙ ΤΩΙ ΜΙΤΖΑΛΑΙ.

Τεταρταῖος ἤδη πονήρως εἶχον ἐγκατασκηψάσης μοι πάλιν τῆς κακῇ μοίρᾳ συνήθας μοι [4]) γεγονυίας ὀρθοπνοίας τῆς καὶ δυςπνοίας καὶ ἀπαγχέσης με, καὶ γραφὴν σὴν ἐδεξάμην ἀνιαράν· ἀλλ' εὖ ἴσθι ὡς ῥᾳδίως πρὸς τοὐναντίον ταῦτα μετατραπήσεται· νύξει γὰρ θεὸς τὴν καρδίαν τῆς βασιλίδος καὶ ἀντιποιήσεταί σε ὡς χρή· προςαγορεύασί σοι [5]) πάντες οἱ σοι συμφοιτῶντες, προςκυνεῖ δὲ καὶ ὁ Δημήτριος.

φβ. ΤΩΙ ΓΡΑΜΜΑΤΙΚΩΙ ΤΟΥ ΦΥΛΑΚΟΣ [6]).

Ἀρταξέρξης ὁ Πέρσης ἄλλος μὲν ἴσως ἀμφιγνοῶν ἢ καὶ παντελῶς ἀγνοῶν ἐκεῖνον ἂν κατεφαίνετο ἀνδρί σε σοφῷ κατὰ σὲ καὶ διὰ πάσης παιδείας ἰόντι, καὶ ᾧ ἔργον λειμῶνας λόγων περιεργάζεσθαι καὶ φρεωρυχεῖν ἐσαεὶ καὶ μεταλλεύειν τὰς βίβλας, ὡς ἂν ψηγματίσας ἐκεῖθεν πάντα τὸν ὄλβον αὐτῷ ταμιεύσαιτο, ὃν Ἑρμῆς ἐν πολυηράτοις τοῖς [7]) ἄντροις κατέθετο, εἴτ' ἐν Ἀρταξέρξης εἴτ' ἄλλος ἐδεὶς ἀπεδράσκασε τῶν ὅσας ἀγλώσσῳ τῷ στόματι τύποι βοῶσι γραφῶν. Οὗτος ὁ Ἀρταξέρξης περιιὼν τὴν Περσίδα ἐπέστη ποτὲ ἀνδρὶ γεωργῷ πρὸς ποταμῷ αὐτεργᾶντι, ὃς δ' ὢν χρηστοήθης καὶ τὸν τρόπον ἐπιεικὴς ἐκ ἔχων ἐδὲν οἷς ξενίζειν εἰώθαμεν ἄνθρωποι, ὕδωρ κοίλαις χερσὶν ἐκ τᾶ ποταμᾶ ἀρυσάμενος ἐκείνῳ

1) AB Schol.: Ἤτοι ὧν ἐδήλωσα τῇ προγραφείσῃ ἐπιστολῇ.
2) B om. artic. τῷ.
3) Hom. Il. VIII, 110 seq.
4) A om. μοι et καὶ ante δυςπνοίας.
5) AB superscr. σε.
6) Cf. Hist. 431 usque ad Hist. 441.
7) A om. artic. τοῖς.

προσήνεγκε δῶρον ἔτ' ἀναγκαῖον ἔτε οἱ τότε χρειῶδες. Οὐ γὰρ ἐζήτει πιεῖν ἔτ' ἄλλως λυσιτελέστατον· ὁ δὲ ὅμως ἐδέξατό τε καὶ ἔπιεν εὖ μάλα ἀσμένως καὶ τῆς προαιρέσεως τὸν ἄνδρα τεθαύμακεν. Εἰ γῦν ἀνὴρ βάρβαρος βαρβάρε ἀνδρὸς λαβὼν δωρεὰν ἔτ' ἀναγκαῖαν ἔτε συνοίσεσαν ἔτως ἐκείνῳ συνεκράθη [1]) τὰ πρὸς στοργήν, πῶς οἴει ἡμᾶς καὶ ἐς πόσον τὸν σχετικόν σοι φιλίας ἀναῤῥιπίσαι σπινθῆρα καὶ οἷον; Ἀσθματίζοντι γάρ μοι καὶ ἀγχομένῳ ἐξ ὀρθοπνοίας τῆς καὶ δυσπνοίας αὐτὸς ἅτε ὄντως τὴν ὄντως φιλοσοφίαν ἀσκῶν τὴν πρὸς θεὸν ἐμφέρειαν φέρουσαν καὶ κηδεμονικῶς διατεθεὶς πρὸς ἡμᾶς καὶ ὥςπερ ὑπὲρ σαυτῦ ὑπὲρ ἡμῶν καταῤῥωδηκὼς μὴ τῇ ῥηθείσῃ νόσῳ ἀγχονισθείημεν, δῶρον ἡμῖν λυσιτελές τε καὶ ἀναγκαῖον κατά γε τὸ δοκῦν τέως πολλοῖς μᾶλλον δὲ τοῖς Ἀσκληπιάδαις ἀπέσταλκας. Τὸ δὲ ἄρα ἦν ὁ Ἀέτιος, πολλὰ μὲν καὶ ἄλλα τῶν παλαιῶν ἰατρῶν συνοπτικῶς γράφων ἀλέξια, ναὶ μὴν καὶ τοῦ νοσήματος ὅπερ ἡμᾶς ὡς ἔφην σφοδρῶς ἐκπιέζει· οὕτως ἡμᾶς ἀλύτως τῷ τῆς σῆς ἀγαπήσεως σπαρτίῳ συνέδησας. Ἀλλ' ἕν τι καὶ λελύπηκας τῇ σταλείσῃ γραφῇ σε, τήν τε γὰρ ἀληθίζεσαν φιλοσοφίαν ἠδίκηκας ἐν αὐτῇ καὶ ὑπὲρ τὰ ἐσκαμμένα τῆς πιθανότητος ὑπερήλλω [2]) ῥητόρων θεσμὰ κατὰ τὸν ἐν ἅλμασιν ἐκεῖνον θρυλλέμενον Φαύλλον καὶ πρὸς ποιητικὴν αὐτονομίαν ἐσύρης. Ὡς γὰρ Περσεῦσιν ἐκείνη καὶ Βοῤῥεάδαις [3]) καὶ Βελλεροφόνταις ἐφίπποις, μᾶλλον δὲ ἡ κωμῳδία Τρυγαίοις τε καὶ Κανθάροις, ἔτω καὶ αὐτὸς ἐγκωμιάζων τὸ τάριχος τὸν ἐρανὸν ὑπεστόρεσας [4]). Ἀλλ' ἵλεως Θεός σοι τοῦ ἐγχειρήματος ἀγάπης ἀῤῥήτῳ πτερῷ Δαιδάλους τινὰς καὶ Ἰκαρίες πτερώσαντι καὶ τὰ ἐρανῦ χωρία τέτοις θέντι σοι βάσιμα, ὁ δὲ Ἀέτιος εὖ ἴσθι ὁπόσα ἐκ παλαιῶν ἀνδρῶν περὶ τῆς κατεχέσης με νόσε συνοψίσας ἐπεξειργάσατο. Οὐκ ἀστείας γονῆς δοκεῖ μοι τυγχάνειν κυήματα ἐκ συναφείας τεχθέντα θήλεός τε καὶ ἄῤῥενος καὶ πρὸς τὸν φυσικὸν τῆς ἀληθείας ἀντιβλέποντα ἥλιον, ἀλλ' ἢ θηλυγόνα μόνον καὶ γυναιαῖα καὶ ὑπηνέμια καὶ ἄλλα ἄλλοις καὶ ἀλλήλοις μαχόμενα καὶ εἰ λυσιτελές τι δυνηθεῖεν ἐργάσασθαι μετά γε πόσιν γαλάκτων ὀνείων καὶ θείων ἀπύρων τῶν ὑπερθέρμων καὶ αὖ ὀπίων τῶν ὑπερψύχρων καὶ ἀσκαμωνίας καὶ κνιδῶν παρατρίψεως περὶ τὸν τράχηλον, αἷς τῶν ἰατρῶν τοὺς διδύμους ἠρούμην ἐμπαρατρίβεσθαι· ἀλλ' οὖν οὐχ ὁμολογεμένως ἀμφιβόλως δὲ καὶ δεδισταγμένως ὥςπερ καὶ ἐτός φησιν ἔστιν οὗ καὶ ἰάσαιντο. Ἐγὼ δὲ

1) B συνανεκράθη.
2) In Chil. vulgo ὑπερήλω, sed A ὑπερήλλω.
3) B βυρεάδαις.
4) AB Schol.: Παροιμία ἐπὶ τῶν εὐτελῆ μεγαλυνόντων.

ὔτε ὄνειον γάλα ποτὲ πίοιμι, ὔτε παρατριβείην κνίδαις τὸν τράχηλον ὐδ᾽ ἄπυρον θεῖον ῥοφήσαιμι, ὔτ᾽ ἄλλο ὐδὲν τῶν ὥνπερ φησιν ὁ ἀνὴρ τὺς ἐκ ψυχρᾶς διαθέσεως δυςπνοικὺς ἐξιώμενος, εἰ τέως ἄρα ἰάσαιτο· αὐτὸς δὲ, ὡς ἔφην, οὐ βύλομαι γὰρ ἐλαίῳ τὴν φλόγα σβεννύειν ἐξ ὑπερθέρμυ τῆς κράσεως κατόχιμος ὢν τῷ τοιύτῳ νοσήματι, ὐδενὶ τῶν γραφομένων ὑπ᾽ αὐτοῦ ἀλεξίῳ χρησαίμην, τὸ πᾶν δὲ τῆς ἐμῆς θεραπείας προςαναθείην θεῷ, παρ᾽ οὗ παραχθεὶς καὶ ζῶ καὶ πνέω καὶ βλέπω τὸν ἥλιον· αὐτὸς δ᾽ αἴκ ἐθέλῃ σ᾽ ἰήσεται ὐδέ τις ἄλλος [1]). Ἔῤῥωσό μοι ὁ τῆς φιλίας διαπυρώτατος ἐραστής.

φγ. ΤΩΙ ΠΑΝΤΕΧΝΗΙ ΚΥΡΙΩΙ ΑΛΕΞΙΩΙ [2]).

Ὁ γλυκύς μοι Ἀλέξιος τὴν σὴν ἐπώνυμον κλῆσιν ἐξ ἔργων ὄντως δεικνύεις ἐπαληθίζυσαν καὶ φερωνύμως ἐπιτεθεῖσάν σοι· ἀλλ᾽ οὐ τηνάλως ὐδὲ εἰκῇ, πάντα γὰρ μηχανᾷ καὶ πάντα τεχνᾷ καὶ πάντα κάλων κινεῖς ὡς ἂν ὅπως δήποτε καὶ ἀπὼν τοῖς φίλοις εἴης συνὼν καὶ τέχνην τὴν τῶν γραμμάτων ἐπώνυμον ἐπασκῶν, κἂν ἐπιχανύσκῃ τοῖς ἐνναλίοις ἐσθήμασι φιλοσοφίαν μετέρχῃ τὴν ὄντως, οὐχ᾽ ἣν οἱ χαμαίζηλοι σοφισταὶ οἵ τὴν κόμην ἐπιτετηδευμένως ἀνεπιτήδευτον κεχυμένην ἀῤῥύθμως ἐπὶ τὸ μέτωπον ἐπισπείρυσι καὶ κεκυφότες δῆθεν εὐλαβὲς ἀτενίζυσι πολλοῖς ἐνιέντες ἀπάτην τῷ ὑπέλῳ τῆς γνώμης καὶ κερδαλέῳ, τὰ δ᾽ ἄλλα σιγῴην, ὡς μὴ γινοίμην δι᾽ ὄχλυ καὶ φορτικός· τὸ γὰρ τἀληθῆ νῦν λέγειν φορτιῶδές τε καὶ δυςάγκαλον· οὐ τοιαύτην μετέρχῃ φιλοσοφίαν αὐτὸς, ἢ πλέον φιλοβαρβάραν εἰπεῖν δριμέως τε καὶ ἀστείως, ἀλλὰ τὴν ὄντως ὡς ἔφην καὶ ᾗ θεὸς ἐπιγέγηθεν, ἣν καὶ ὁ σὸς ἀδελφὸς ἐπασκεῖ, ἣν ὁ ἐμὸς [3]) καθηγητὴς ἐκπαιδεύει καὶ σὺν αὐτῷ τὸν λοιπὸν μυριάριθμον ὅμιλον ἐν τρυχηροῖς τοῖς ῥακίοις καὶ οὐ βλακώδεσιν, ἣν ἐκπονέμενος ἄνθρωπος ἐξομοιοῦται θεῷ· πρώτη δ᾽ ἂν εἴη καθ᾽ ὑμᾶς ἐπιβάθρα εἰς φιλίαν θεῦ καὶ ὁμοίωσιν τὸ πρὸς τὺς ὁμογενεῖς κοινωνικόν τε καὶ φίλιον καὶ ἡ περὶ αὐτὺς [4]) στοργῆς ἔνδειξις, ἣν αὐτὸς πάντα τρόπον δεικνύεις καὶ παρὼν καὶ ἀπὼν, ἧς ὁ κρείττων ἀντιχαρίσαιτο τὴν ἀμοιβὴν θειοτέραν ὑπερκειμένην πολλῷ καὶ ἀσύγκριτα τῆς χαμερποῦς καὶ ὑλαίας καί σε μεγαίρῃς ἀνέπαφον τῷ κυβεῶνι τύτῳ βίῳ φρυρήσειε. Τὴν σὴν ἀποστολὴν ἐδεξάμην, τά τε τῶν ἐδεσμάτων ἡδύσματα καὶ τὸν πέρδικα τὸν χειροήθη τε καὶ ὡραῖον, ὃν

1) Cf. Odyss. IX, 520.
2) Cf. Hist. 442 usque ad Hist. 446.
3) B ἐμὸς αὐτὸν καθ.
4) A αὐτῦ.

καὶ παραψυχὴν ἔχω τȣ̃ χαλεπȣ̃ μοι νοσήματος. Ἄνω γὰρ τῆς οἰκίας καὶ κάτω περιπολῶν σοβαρὸν καὶ κακκαβίζων τὸ γλαφυρὸν ἐπικεφίζει μοι τὸ πονȣ̃ν καὶ ληθεδανὸν ὀδυνῶν μοι γίνεται φάρμακον. Περὶ δὲ τῆς προτέρας ἀποστολῆς τȣ̃ ἀρνȣ̃ καὶ τῶν κατοικιδίων ὀρνίθων νῦν μάνθανε· ὡς ἔοικε γὰρ ἀγνοεῖς τὰ ἡμέτερα· ὁ Τζέτζης ȣ̓́τε ἀνδράποδον εἰς δȣλείαν ἀλλ' ἐκ δȣλείας ὠνεῖται, ȣ̓́τε τι ζῶον παρ' ȣ̓δενὸς εὑρεθείη λαμβάνων σφαγῆς ἕνεκεν, ἀλλὰ τȣ̃ ζῆν καὶ βλέπειν τὸν ἥλιον· ᾧ δὲ βȣλητὸν ἀποστολῶν κρεωδῶν ἡμᾶς ἅπτεσθαι ἢ ἐσκευασμένα ταῦτα τέχνῃ μαγείρων στελλέτω ἢ τάριχα, εἴτ' ȣ̓̃ν πρὸ ἡμερῶν ἐσφαγμένα, μὴ δὲ νεοχύτῳ περιῤῥεόμενα αἵματι. Ἄλλως δὲ δρῶν ἡμῖν ἔκφυλα δρᾷ. Τί γὰρ ἂν καὶ χρησαίμεθα ζῶσιν ἀρνοῖς καὶ τοιȣ́τοις ἄνθρωποι βίον βιȣ̃ντες μοναύλιον καὶ χύσεις αἱμάτων ἀποτρεπόμενοι; Ἔῤῥωσο ὁ γλυκύς μοι Ἀλέξιος, ὁ ἀκριβὴς φιλίας ῥυθμός.

φδ. ΤΩΙ ΚΑΛΛΩΝΙ ΚΥΡΙΩΙ ΓΕΩΡΓΙΩΙ [1]).

Εἴης ὑγιαίνων μοι εὐμενείᾳ θεοῦ καὶ μοίρᾳ τηρούμενος λῴωνι [2]) τέκνον τριφίλητον Κλάδων Γεώργιε, κλάδε μȣσῶν καὶ Ἑρμȣ̃· τῶν δ' ἡμετέρων τὰ μὲν ἐπιτροχαστέον, τὰ δὲ καὶ πλάτει μετρίῳ γραπτέον σοι. Κατὰ τὸν ȣ̓́πω πέρισυ χρόνον βάσκανοί τινες Ἐριννύες καὶ ἀλαστόρων τελχίνων χορὸς καὶ εἴ τις ἕτερος δαίμων στυγνός τε καὶ κατηφὴς κοινῷ συνθήματι συνδραμόντες ὅλας αὐτῶν ἀθρόως ἐκένωσαν ἐφ' ἡμᾶς τὰς φαρέτρας καὶ τὰ τοξεύματα, καὶ εἴ τις ἡμᾶς περιεῖπεν, ἀθρόως ἀνήρπασται ὡς ἐς τετρακτῦν [3]) καὶ πλέον ἠριθμημένοι. Ἔπειτα πολλοῖς καὶ φίλοις καὶ τοῖς καθ' αἷμα προςήκȣσιν, ὡραίοις ȣ̓̃σι παστάδος, ȣ̓χὶ παστάδος ἀλλ' ἐκφορᾶς λαμπάδας ἀνήψαμεν. Οὐκ ἔχω τὸν ἀδελφόν, ἡ νόσος ἡ φορτιώδης ἔτι πιέζει με, οἱ δ' ἀλάστορες κακοῖς τοῖς ἡμετέροις ȣ̓κ ἐπισπένδονται, θυμέλης δέ τινα δαίμονα βάσκανον ἐμοὶ καὶ πικρὸν ἀρχιμηχανητὴν ἐφιστῶσιν εἰς παντελῆ καταπόρθησιν, ὅς ἑλεπόλεις [4]) ȣ̓κ ἀγεννεῖς ἐφιστᾷ μοι καὶ μηχανήματα· κιμμέριον γὰρ ὄντα με καὶ ἀνήλιον ἐν βαθυσκότῳ κατῳκισμένον τῷ κλίματι συνιεὶς μόνῃ τῇ [5]) ζώσῃ σελήνῃ περιλαμπόμενον τῇ παμφαεῖ βασιλίδι με, στεγανὸν τὴν ἐκστρατείαν ἀντίφραγμα θεὶς ὡς σκιερῷ τινὶ νέφει καὶ ταύτης μοι τὰς ἱερὰς ἀκτῖνας

1) Cf. Hist. 447 usque ad Hist. 456.
2) B λῴονι.
3) AB τετρακτῆν.
4) AB Schol. ad Ἑλεπόλεις· Λιθοβόλα ὄργανα δι' ὧν αἱ πόλεις ἁλίσκονται.
5) A δὲ ζώσῃ.

ἀπέκρυψε, καὶ νῦν πορθεῖ με σκότῳ τε ἔτω [1]) βαθεῖ καὶ τοῖς λοιποῖς μηχανήμασιν. Ἀλλ' ὦ παλαμναῖε καὶ ἀλιτήριε δαῖμον, ἵνα μικρόν τι διαχυθείην κἂν ταῖς τοσαύταις ἐπιφοραῖς συμφορῶν, Ἀμαζονίδας μὲν καὶ Σκυθίδας ἀκήκοα καὶ Σαυροματῶν τὰς γυναῖκας στρατεύεσθαι καὶ τὰς Σακίδας καὶ Μασσαγέτιδας, τέρας δὲ παρὰ Ἀσσυρίοις ἐδόκει στρατευομένη Σεμίραμις καὶ Ἀταλάντη κυνηγετῦσα παρ' Ἕλλησι καὶ περὶ [2]) Μυσοῖς θάμβος ἡ ἱερὰ μαχομένη καὶ παρὰ Καρσὶν [3]) ἡ Ἀρτεμισία ἡ Ἁλικαρνασσία ἡ τῦ Μαυσώλε γυνή. Σὺ δὲ δι' ἡμᾶς καὶ βασιλίδας τρυφώσας καὶ ἁπαλὰς τῆς οἰκερίας ἐξάγεις ὡς ἐπὶ πόλεμον τὰς φύσεις καινοτομῶν, ὥςπερ ἐκεῖνος ὁ Ξέρξης ὁ βάρβαρος καὶ καινὸν ὦ δαῖμον ἐδέν· καὶ Σιλιγύδης γὰρ ὃ καὶ θεῷ καινοτομηθῆναι μόλις ἂν ὑπετόπασα, τὸ τεταρτηρὸν [4]) ἐξειργάσατο τριτηρὸν δωδεκατημορίῳ λειπόμενον καὶ τὴν Ῥωμαίων πᾶσαν εἰς στενὸν περιέκλεισε καὶ τότε ἀνδράριον ἀγοραῖον καὶ βάναυσον. Ἀλλὰ τίνα μοι ταῦτα; Τέθνηκε πρὸς τοῖς ἄλλοις μοι καὶ ἡ ἀρετὴ [5]) μονοτρόπων καὶ ἡ γλῶττα [6]) καὶ ὁ ὀφθαλμὸς τῆς ἱερᾶς γερεσίας ἐκκέκοπται· εἰς ὃς καὶ βραχεῖς ἐσχεδιάσαμεν μετροσυνθέτες γραφάς, ἅςπερ καί σοι νῦν ἀπεστάλκειμεν. Ἡ τῦ θεῦ φιλανθρωπία, τέκνον, φρερoίη σε.

φϛ. *ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΜΗΤΡΟΠΟΛΙΤΗΙ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΥΡΙΩΙ ΒΑΣΙΛΕΙΩΙ ΤΩΙ ΑΧΡΙΔΙΩΤΗΙ* [7]).

Καὶ ἄλλων μὲν ἐκ ὀλίγων ἕνεκα, θειότατε δέσποτα, καὶ προςκυνῶ καὶ σεβάζομαι τὴν σὴν ἁγιότητα καὶ ὀφειλέτης μυρίων εὐχαριστιῶν σοι καθίσταμαι, ὅτι τε μόνος τῇ νῦν γενεᾷ εὑρεῖ καταλέλειψαι κόσμῳ τῆς ἀρχιερατικῆς ἀξίας ὑπογραμμός τε καὶ κόσμος, καὶ ἄλλων ἕνεκα πλείςων ἃ γράφειν ἐῶ· ἐρυθριᾷς γὰρ πρὸς τὲς ἐπαίνες αὐτὸς καὶ ὑπεκκλίνεις αὐτὲς ὡς τὰ ἰοβόλα καὶ δάκετα· ἐχ ἥκιστα δὲ ὅτι καὶ ἡμῶν ἐςαεὶ φροντίδα ποιῇ καὶ τοῖς ἡμῶν ἀνιαροῖς ἀνιᾷ, κατὰ τὸν ἰατρὸν ἐκεῖνον τὸν

---

1) B *τε τῷ βαθεῖ.*

2) In Chil. vulgo *παρὰ μυσοῖς*, A *παρὰ μ.*

3) B om. verba *παρὰ καρσίν.*

4) AB Schol.: *Τὸ τεταρτηρόν· Τέσσαρα γὰρ ὄντα τῦ ἱσταμένε τὰ τεταρτηρά, οὐ σῶα τρία ἐποίησε· καὶ τριτηρά, ἀλλὰ δωδεκατημορίῳ· ἱστάμενον λειπόμενον εἰς τὸ τῦ τριτηρῦ ποσόν.*

5) AB Schol.: *Ἡ ἀρετὴ μονοτρόπων· ὁ καθηγέμενος τῆς μονῆς τῆς τῦ παντοκράτορος ὁ ά* (sic) *Ἰωσήφ.*

6) AB Schol.: *Γλῶττα δὲ καὶ ὀφθαλμὸς τῆς ἱερᾶς γερεσίας, ὁ ἀρχιερεὺς τῆς ἐφέ* (sine dubio *Ἐφέσε*) *Ἰωάννης ὁ Κολπωτός.*

7) Cf. Hist. 457 usque ad Hist. 460.

Κῷον ἐπ' ἀλλοτρίῃσι ξυμφορῇσιν ἰδίας καρπέμενος λύπας, καὶ τῦτο πάντως ἀρχιερέως τύπον ἀκραιφνῆ τηροῦντος τοῦ ὄντως μεγάλου ἀρχιερέως καὶ φιλανθρώπε θεῦ. Ἀνηγγέλη μοι γὰρ παρὰ τῦ ἱερωτάτε μητροπολίτε Δρίστρας ὅσα τε περὶ ἡμῶν ἠκέσθη τῇ σῇ ἁγιότητι καὶ ὅπως δυςφόρως τὴν ἀγγελίαν ὑπήνεγκας καὶ ὅπως τὸ τάριχος ἀπεσέμνυνας, ζημίαν λέγων γεγονέναι τῶν ἡμῶν τελευτήν· ὡς εἴπερ ἦμεν ὁ Ἀρχιμήδης ἐκεῖνος ὁ Συρακέσιος [1]), ὅς οὐ λόγοις μόνοις ἀλλὰ καὶ ἔργοις παντὶ τῷ βίῳ ἐλυσιτέλησε καὶ ἔτι δὲ καὶ θανὼν τοῖς συγγράμμασιν ὅμως λυσιτελεῖ. Καὶ τέτε γῦν ἕνεκα ἐχ ἥκιστα τῶν ἄλλων, εἰ μὴ καὶ πλέον, προςκυνῶν εὐχαριστῶ τῇ σῇ ἁγιότητι· προςκυνῶ δὲ καὶ τὸν ἅγιόν [2]) με δεσπότην καὶ ἀδελφὸν τῆς ἁγιωσύνης σε καὶ πάντας τὲς ὑπὸ τὴν ὑμῶν ἁγιωσύνην ἀσπάζομαι, δεικνὺς ὡς ἔτι μὲν ζῶ, βραχὺ δ' ἀναπνέω. Ἃ δ' ἠκέσθη τῇ ἁγιωσύνῃ σε περὶ ἐμῦ, τί ἂν καὶ λέγοιμι; ὅτε ἀληθῆ ταῦτα τολμῶ λέγειν, ζῶ γὰρ εἰςέτι ὅτε τελέως διαψευδόμενα. Λόγοι, θειότατε δεσπότα, γεγηρακότες κα. ἔξωροι καὶ τῆς θυραίας γραφῆς τιθηνήματα Κάστορα καὶ Πολυδεύκην φασὶ ζώοντας ἑτερημέρες, ἄλλοτε δ' αὖ τε θνήσκοντας· ἐγὼ δὲ τίνες μὲν ὁ Κάστωρ καὶ Πολυδεύκης ἐκ ἴσημι, οὐ γὰρ τέτοις ἐνέτυχον, ἐμαυτὸν δὲ ἀκριβῶς οἶδα, ὡς ἔμψυχος εἰκὼν ἀμφοτέρων καθέστηκα, καίπερ τῷ ἀριθμῷ τελῶν εἷς. Ἄλλοτε γὰρ ζώω ἑτερήμερος, ἄλλοτε θνήσκω· τῷ τῦ Ἡρώδε γὰρ νοσήματι γινόμενος κάτοχος, πλὴν μέντοι τῆς τῶν σκωλήκων ἐκβράσεως ἀσθματίζοντι πάθει καὶ κώλων [3]) ὀδύναις, πλευρῶν ἀλγηδόσι, πυρετοῖς καύσοις, ῥευματικαῖς καταῤῥοίας ἐπιφοραῖς καὶ ἄλλοις ἅμα ὁμῦ. Τί ἂν καὶ λέγοιμι, ὅσα μὲν καὶ οἷα βοῶ, ὥςπερ τις ἐξεστηκὼς καὶ περιφερόμενος, ὁσάκις δὲ ἀνεκαλεσάμην τινὰς δεξιῶς ἕλκοντας ξίφος, ὡς ἂν τῦ ἀφορήτε ἄλγες με ἀπαλλάξειαν, ὁσάκις δὲ ὥρμησα κατὰ κεφαλῆς ἐμαυτὸν ἐκ τῦ ὑπερῴε βαλεῖν, ὡν ἂν ἐκφύγοιμι τὸ δεινόν. Ἀλλ' εἰ καὶ μικρόν τι ἐπιβηματίζειν ἐπιχειρήσαιμι, ἀνύω μὲν τῶν ἐλπιζομένων ἐδὲν, πολλαπλασιάζεται [4]) δὲ τὸ τῆς συμφορᾶς ἀδιήγητον ὥςπερ τὸ πῦρ σφοδραῖς ῥιπίσιν ὑπαναπτόμενον. Οἱ συμπαθέστεροι δὲ τῶν ὁδοιπορέντων καὶ ὁμορέντων πρὸς τὰς ἀκρατεῖς ἐλεεινὰς ἐκείνας φωνὰς, ἄλλως γὰρ οὐ δύνανται βοηθεῖν, οἱ μὲν βύθιον προπέμπεσι στεναγμὸν, οἱ δὲ καὶ ὀδύρονται, ἐγὼ δὲ τὸν παρ' Ὁμήρῳ κλυτόπωλον ἐκεῖνον νῦν ἐπέγνων ἁπάντων βραδυπωλότατον, καὶ οὐ μόνον

1) B συρακόσιος.
2) B ἁγιώτατον.
3) B κόλων.
4) B πολυπλασιάζεται.

ἀμείλιχον καὶ ἀδάμαστον, καθά φησιν Ὅμηρος, ἀλλὰ καὶ κωφόν· οἷον τὸν παροιχόμενον χρόνον Λύσιππος μὲν ἐζωγράφησε [1]), *Δημοσθένης δὲ ῥητορικοῖς συντάγμασιν ἔδειξε· τοῦ γὰρ σοροπηγοῦ μοι τεκτηναμένου σορὸν εὐφυᾶ, κἀμοῦ ταύτην ἐπιγραμμάτων πληρώσαντος, θανάτου φερόντων ἐγκώμια καὶ ὕπνου πολλῷ κρείττονα τοῦτον δεικνύντων. Ὁ δὲ ὅμως πάλιν νηλεής τε καὶ ἄτεγκτός ἐστι καὶ κωφὸς καὶ οὕτω μετακαλούμενος οὐχ ὑπακούει, ἀλλὰ καὶ τοὺς κλυτοπώλους* [2]) *ἵππους αἰσχύνει καὶ ἡμᾶς οὐδὲν ὠφελούμενος ἀνιᾷ. Ἡ τοῦ θεοῦ φιλανθρωπία τηροίη τὴν σὴν ἁγιότητα ἐκτὸς παντὸς ἀνιῶντος καὶ σκυθρωποῦ μετὰ δὲ γῆρας βαθύ τε καὶ λιπαρώτατον θανάτῳ ἡδύμῳ ὕπνῳ ἄγχιστα ἐοικότι, οὗ αὐτὸς μὲν ἐρῶ, τυχεῖν δὲ ἀδυνάτως ἔχω, πρὸς τὰς ἐκεῖθεν ἀφθάρτους μετακαλέσοι καὶ θείας σκηνάς.*

φϛ. ΤΩΙ ΕΥΛΑΒΕΣΤΑΤΩΙ ΔΙΑΚΟΝΩΙ ΚΥΡΙΩΙ ΤΩΙ ΒΑΘΥΡΡΕΙΤΗΙ.

Ἐθείασας, θειότατε δέσποτα, θεασάμενος πρὶν τὰς ἡμετέρας μελίσσας βόμβῳ περὶ τὰ σίμβλα καθιπταμένας· ἐκεῖναι δέ σε τὸν σφῶν ἐπαινέτην οἷς ἡδονήθησαν μικροῖς κηρίοις ἀμείβονται.

φζ. ΤΩΙ ΑΥΤΟΚΡΑΤΟΡΙ ΚΥΡΙΩΙ ΜΑΝΟΥΗΛ ΤΩΙ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΩΙ [3]).

Τὸ τοῦ σοῦ κράτους γαλήνιον, νικητικώτατε βασιλεῦ, τολμηρόν με ποιεῖ τὸν ἀνάξιον δοῦλόν σου δικαίας δεηθῆναι δεήσεως. Ἤκουσταί μοι φιλανθρωπότατε βασιλεῦ ὡς θριαμβικῷ δίφρῳ μέλλεις τιμᾶν τὸν τοὺς λόγους τιμήσαντα τὸν ἐκ Πανίου φιλόσοφον τὸν διπλοτρίπλως τῆς πρωτοκουροπατικοῦ ἀξίας ἀξίως ἀξιωθέντα. Δέομαι γοῦν τοῦ θεοπροβλήτου σου κράτους ἐλεύθερος καὶ τοῦ δικαίου τελῶν ἐραστής, μηδὲν μηδαμῇ καινοτομηθῆναι τὰ περὶ τὸν θριαμβικὸν [4]) *τοῦτον τὸν γενησόμενον κουρέλιον δίφρον, ἐπεὶ μηδ' ἐν ἄλλοις τι καινοτομεῖν εἴωθε τῶν προκειμένων θεσμῶν τὸ θεῖόν σου κράτος, γενέσθαι δὲ καθὼς ὁ θριαμβικὸς παρακελεύεται νόμος, περὶ οὗ γράφει Δίων Κοκκειανός. Εἰ δὲ τῶν ἐργωδῶν σοι δοκεῖ παλαιῶν βίβλους ἀνερευνᾶν, ἀλλ' οὖν ὡς οἷον ἐπιδρομάδην αὐτὸς τὰ τοῦ θριάμβου ἐξείποιμι·*

---

1) AB Schol.: *Ἐζωγράφησε· ἀντὶ τοῦ ἠνδριατούργησεν· ὁ Λύσιππος γὰρ ἀνδριαντοποιός, οὐ ζωγράφος.*

2) B *κλιτοπώλου.*

3) Cf. Hist. 461.

4) AB Schol.: *ἡ λογική· Μεθόδῳ δεινότητος κατὰ τοῦ πανιώ... αὗτα δοκεῖν γράφει ὁ ῥήτωρ τὸν βασιλέα διδάσκει τοῦ θριάμβου τὴν δύναμιν· ἀτέχνως γὰρ καὶ παρεφθαρμένως ἐγίνετο· τὸ δὲ βασιλέα ἐλέγχειν ἢ νουθετεῖν ἐμφανῶς ἐπιζήμιον· ἐκφράζων δὲ καὶ τὰ τοῦ θριαμβικοῦ δίφρου, δείκνυσιν ἀπρεπὲς εἶναι τὸ, ἅρματι θριαμβεύειν.*

Εἰς δίφρον τὸν θριαμβονίκην ἀναβιβάσαντες σινωπιδίῳ ἢ κινναβάρει τὸ πρόσωπον ἀντὶ αἵματος ὡς μὴ ἐρυθριᾷ περιχρίεσι καὶ βραχιονιστῆρας ἐμβάλλεσι [1]) ταῖς χερσὶ καὶ δάφνιον [2]) στέμμα καὶ δάφνης κλῶνα διδῦσι τῇ δεξιᾷ· περιτιθέασι δὲ καὶ τῇ κεφαλῇ στέφανον ἐξ ὕλης ὁποίας, ἀνάγραπτα φέροντα ὅσα ἐποίησεν ἢ ἐπεπόνθει· οἰκέτης δὲ δημόσιος τῦ ἅρματος ἑστὼς ὄπισθεν ἀνέχει τὸν στέφανον λέγων ἐκείνῳ πρὸς ὖς· βλέπε καὶ τὸ κατόπιν. Κώδωνες δὲ καὶ μάστιξ τῦ ζυγῦ τῦ ἅρματος ἀπηώρηνται· εἶτα τρὶς κυκλῶν τὸν τόπον περιτρέχει, καὶ τὲς ἀναβαθμὲς ἐπὶ γόνασιν ἀνέρπει καὶ τὲς στεφάνες ἐκεῖ ἀποτίθεται. Εἶτα μετὰ θυμελικῶν οἴκαδε ἀπέρχεται. Αὕτη μου ἡ δέησις τροπαιῦχε καὶ θεοπρόβλητε αὐτοκράτορ, ἣν πληρωθῆναι τῦ κράτες σε δέομαι, ἐλευθέραν τε καὶ νόμιμον καὶ δικαίαν τελῦσαν ὡς οἶμαι καὶ ἀβαρῆ. Ὡς δῦλος ἀνάξιος τολμήσας ἐδεήθην.

φη. ΤΟΙΣ ΟΙΚΟΝΟΜΟΙΣ ΜΟΝΗΣ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ [3]).

Οὐκ ἔχω δέσποται θειότατοι καὶ τὴν ὄντως φιλοσοφίαν ἀσκῦντες καὶ ὄντως ὄντες θεῦ μιμηταί, τῦ τε διδάγματος καὶ τῆς περὶ ἡμᾶς εὐποιΐας τε καὶ στοργῆς τίνα τὴν εὐχαριστίαν ἀφοσιώσω ὑμῖν. Ἐγὼ γάρ, δέον καὶ γάρ με [4]) πρὸς ὑμᾶς ἐρεῖν τὸ ἀληθές, εἰ καὶ τὸν οἰκερὸν βίον εἰλόμην καὶ ἀρχικαῖς θυραυλίαις ἀπεῖπον καὶ τῷ πεποιθέναι ἐπ' ἄνθρωπον, θεῷ δὲ μόνῳ τὴν ἐμαυτῦ ἀνεθέμην πεποίθησιν, ἀλλ' ὅμως τὴν ἧτταν ὁμολογῶ, σύγγνωτέ μοι. Οὐ γὰρ ἐγὼ κρείττων Πέτρε καθέστηκα τῇ ἐκ τῶν τῇδε μετάρσει τῦ γέροντος πρὸς τὰς ἐκεῖσε πορείας ἔπαθόν τι μικροπρεπὲς καὶ ἀνθρώπινον· Ἐδίστασα γὰρ οὐ μικρῶς καὶ τὴν τελευτὴν ἐμεμψάμην ὡς ἄδικον· ὑπετόπασα καὶ γὰρ ἐκεῖ' εἶναι τὸν ἡμᾶς εὐποιήσοντα. Οὕτως ἐγὼ μικρόψυχόν τι ἐπεπόνθειν καὶ λόγοις τοιέτοις ἀπεμαχόμην. Ἀλλ' ὁ τὸ πᾶν δεξιῶς διεξάγων καὶ μηδὲ στρεθίον ἐῶν ἀτημέλητον, τρεῖς ὄντας ὑμᾶς εἰς εὐποιΐαν ἡμῶν ἐρεθίσας [5]) μονονὲ μειδιῶν διὰ τῦδε τρόπον τινά μοι προανεφώνει τῦ δράματος· Ὀλιγόπιστε εἰς τί ἐδίστασας· ἆρά τοι εἴσκομεν ἄξιον εἶναι τρεῖς ἑνὸς ἀντιπεφᾶσθαι; Τοιαῦτα τρόπον τινὰ θεός μοι μειδιῶν ἀνεφθέγγετο τῆς ἐπιστασίας ἕνεκα τῆς ὑφ' ἑτέρας [6])·

1) A ἐμβάλεσι.
2) B δάφνινον.
3) Cf. Hist. 462 usque ad Hist. 466.
4) A om. με.
5) B ἐρυθριάσας.
6) B τῆς σφετέρας.

Οὐ μὲν γὰρ βροτέῃ κεφαλῇ κατὰ γυῖα κέκασται
Οὐ μὲν ἀπαὶ νώτων γε δύο κλάδοι αἴσσεσιν,
Οὐ πόδες οὐ θοὰ γῦνα καὶ μήδεα λεχνήεντα [1]),
Ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μῦνον,
Φροντίσι κόσμον ἅπαντα καταίσσεσα θοῇσιν [2]),

ὡς Ἐμπεδοκλῆς φησὶν ὁ τῦ Μέτωνος· καὶ ὑμεῖς δὲ αὐτοὶ ἐξ ὧν περὶ ἡμᾶς ἐδεδράκειτε ἐληλεγμένες μὴ συνιέντες [3]) ἐδείξατε, ὡς ἀνθρώπῳ ἄνθρωπος πρὸς ὠφέλημα ἥκιστα δύναιτο εἶναι ἢ ὡς ἐλάχιστα· θεῦ δὲ ἄρα ὄργανον ἄνθρωπος εἰς εὐποιίαν ἀνθρώπε καθέστηκε· πλὴν ἀλλὰ θεῦ ἐκεῖνον κατοργανώσαντος ἀγαθοθελεῖ δὲ προαιρέσει, οὐ γὰρ ἐπάγει βίαν ἀνθρώπῳ πεποιηκὼς ἀρχῆθεν αὐτὸν αὐτοκράτορα. Οὕτως ἡμᾶς ὑμεῖς ὦ θεῦ χρηματίσαντες ὄργανα εἰς εὐποιίαν ἑτέρων ἀλλὰ προαιρέσει εὐγνώμονι ἐκ τῶν δρωμένων οὐ λόγοις ἐνεθετήσατε μὴ πεποιθέναι ἐπ' ἄνθρωπον· στοργῇ γὰρ οἵᾳ καὶ πόσῃ [4]) κατάσχετοι τῇ περὶ ἡμᾶς γεγονότες, οὐ μόνον δὲ ὑμεῖς ἀλλὰ καὶ σύμπαν τὸ παρ' ὑμᾶς, ὥςπερ καὶ περὶ τὸν Δημόκριτον πρὶν οἱ σύμπαντες Ἀβδηρῖται, ὁπότε δεκαταλάντες δωρεὰς τῆς ἐκείνε ἰάσεως ἕνεκα τῷ Κῴῳ Ἱπποκράτει ἐδίδεν οἰόμενοι τὸν ἄνδρα νοσεῖν, τοιαύτῃ καὶ ὑμεῖς περὶ ἡμᾶς προαιρέσει οὐ μόνον τὰ εἰς ἀρτοποιίαν λυσιτελῦντα διαρκῶς ἐμοὶ ἀπεστάλκειτε [5]), ἀλλὰ καὶ τροφὴν ἡμιόνων πλεσίαν καὶ πλεσιόχειρα· τρεῖς γὰρ ἡμίονοι μόγις νωτοφορήσαντες ταῦτά μοι ἀπηνέγκαντο καὶ ζεῦγος προςεπιτέτοις ταρίχων ἰχθύων ὠξιανῶν, ἃ πάντα πῶς ἂν εἴποι τις ὁ Τζέτζης λαβὼν, ὦ θεῦ μιμηταὶ, καὶ ἀξίαν ὑμῖν τὴν εὐχαριστίαν ἐκ ἔχων ἐπενεγκεῖν καὶ τῆς στοργῆς τὴν χάριν τῇ πάσῃ λοιπῇ ἀδελφότητι. Προςκυνῶ ἕως ἐδάφες πάντας ὑμᾶς τῷ παρόντι με γράμματι, ζωὴν ἐπευχόμενος τῇδε μακραίωνα εἰς πολλῶν λυσιτέλειαν, μετὰ δὲ τὴν τῦ πλάνε τῦδε βίε περαίωσιν ἐν τόποις πραέων ἐν ἐκλεκτῶν κατοικίαις, ὅπε θεῦ τὸ τριλαμπὲς ὀπτρίζεται πρόσωπον, τῇ αὐτῦ χάριτι πάντας ὑμᾶς λαβεῖν κατασκήνωσιν.

φθ. ΤΟΙΣ ΩΡΕΙΑΡΙΟΙΣ ΤΗΣ ΤΟΙΑΥΤΗΣ ΜΟΝΗΣ [6]).

Ξέρξης ἐκεῖνος ὁ Πέρσης ὁπότε κατὰ τῆς Ἑλλάδος ἐστράτευσεν, ὡς εἰς φυγὴν κλιθὲν εἶδε τὸ ἑαυτῦ ναυτικὸν, Ἀρτεμισίαν δὲ μόνην ἐμ-

1) A λεχνήεντα, ap. Sturz λαχνήεντα.
2) Emped. fragm. ed. Sturz p. 526.
3) B συνιέντας.
4) A πόσοι.
5) B ἀπεστάλκατε.
6) Cf. Hist. 467. 468. 469. In B tit. legitur: τῷ ὠρειαρίῳ τοιαύτης μονῆς.

βόλε πληγῇ τριήρη βυθίσασαν, διάτορόν τι καὶ θαυμαστικὸν ἀνεβόησεν· Οἱ μὲν ἄνδρες με γυναῖκες ἐγένοντο, αἱ δὲ γυναῖκες ἄνδρες. Τῦτο κἀγὼ τιμιώτατοι [1]) ὁ δεῖνα καὶ δεῖνα δεσπόται σιτοταμίαι καὶ ὡρειάριοι [2]) νῦν ἀναφθέγγομαι τῶν τὴν οἰκονομικὴν διεπόντων ἀρχὴν μηδ' ἀκριβῶς εἰδότων ἡμᾶς, ἀγαθοθελεῖ δὲ προαιρέσει κεκινημένων εἰς εὐποιίαν ἡμῶν καὶ κριθὴν καὶ σῖτον ἐντειλαμένων δῦναι ἡμῖν σεσημασμένῳ τῷ γράμματι, ὑμῶν δὲ ἀντ' αὐτῶν κόνιν εἰς πλινθεργίαν στειλάντων ὡς πρὸς [3]) ἐκείνῳ ποτὲ τῷ Νηλεῖ ὁ μιλήσιος ἄγροικος [4])· ἄρτον καὶ γὰρ κἀκεῖνος ἀγροίκῳ ποτὲ ᾔτησεν, ὁ δὲ οὐ συνεὶς ὅ λέγοι Νηλεὺς βῶλον γῆς τέτῳ δωρεῖται, ὃ καὶ σημεῖον ἐγένετο τῷ Νηλεῖ γῆς Μιλησίων κρατῆσαι. Πλὴν δὲ [5]) ἀλλ' ἐκεῖνος μὲν οὐ συνεὶς ὅ αἰτεῖται ἀντὶ ἄρτε τὸν βῶλον ἐπώρεξεν, ὑμεῖς δὲ ἀκριβῶς εἰδότες ἡμᾶς καὶ τὸ γράμμα καὶ τὲς κελεύσαντας καὶ ὅ διορίζονται δῦναι ὅμως ἀντὶ σίτε τε καὶ κριθῆς λιθοικοδόμες ἢ πλινθεργὲς ὑποτοπάσαντες οἶμαι ἡμᾶς [6]) κόνιν εὖ μάλα ἐπιτηδείαν εἰς πλινθεργίαν καὶ λίθες ἀπεστάλκειτε. Ἀλλ' ἐκείνοις μὲν χάρις ἐκ Θεῦ καὶ εὐχαριστία δὲ ἀφ' ἡμῶν τῆς περὶ ἡμᾶς μεγαλοφροσύνης τε καὶ στοργῆς, ὑμῖν δὲ τῆς τοιαύτης σμικροπρεπείας καὶ τῆς τῶν φίλων ὀλιγωρίας ἵλεως κύριος, ὅτι κἂν μίαν ὥραν ἐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' αὐτῦ.

ρ. ΤΩΙ ΓΡΑΜΜΑΤΙΚΩΙ ΚΥΡΙΩΙ ΝΙΚΗΦΟΡΩΙ [7]).

Ὁ τρόφιμος Ἑρμῦ καὶ Μεσῶν ὁ φίλος ἐμοὶ χρυσῦς Νικηφόρος, ὑγιὴς τῷ κρείττονι συντηρέμενος καὶ λειοκύμοσιν αὔραις ἐριοδρομέσῃ κάλλιστα τῇ νηΐ, εἴθε σὺν τῷ ἁγίῳ δεσπότῃ κατάρειας ἐς τὴν Ἄμαςριν. Μέμνησο γῦν ἔχων καλῶς ἐπὰν τὸν πλῦν ἐκεῖσε ἀνύσειας, ὡς ἂν ἐκεῖθεν εὐτελές τι ἡμῖν δὲ πάνυ λυσιτελέστατον στείλειας. Παρὰ τὴν Ἄμαςριν ὥς φασιν ἔλατοι πεφύκασι δένδρα δενδρολιβάνε μὲν ἐμφερὲς φέρεσαι [8]) φύλλον πυκνότερον [9]) δὲ καὶ εὐσυνθετώτερον· τὸ ξύλον δὲ αὐτῶν ἐοικός

---

1) B τιμιώτατε δέσποτα ὁ.
2) B σιτοταμιέ ὡρειάριε.
3) B ὥσπερ.
4) AB Schol.: Ἄγραικος ὁ ἀμαθής· ἀγροῖκος δὲ ὁ ἐν ἀγρῷ οἰκῶν· Ἀττικῶς δὲ ἀντιστρόφως· ὡς τὸν παρ' ἡμῖν γελοῖον καὶ ὅμοιον, λέγοντες· τὸ δὲ παρ' ἡμῖν τρόπαιον, αὐτοὶ τροπαῖον καὶ σπηλαῖον ὁμοίως.
5) A om. δέ.
6) B ὑμᾶς.
7) Cf. Hist. 470.
8) A φέρεσι.
9) A πυκνώτερον.

ἐστι τῷ ξύλῳ τῷ τῆς στροβίλȣ τȣ̃ δένδρȣ, ὑψιτενὲς δὲ πολὺ καὶ σταυροφυὲς, ὀδμὴν δὲ τὸ φύλλον αὐτῶν ὀσφραινόμενον ἔχει βαρεῖαν. Τȣ̃το τὸ δένδρον σπέρμα φασὶ φέρειν καρπῷ καννάβȣ παρεμφερὲς, ὃ τῆς ὀδυνώδες καθέστηκεν ἴαμα νόσȣ τῆς αἷμα τὸ ἐμὸν ἐκροφέσης. Σπέρμα γȣ̃ν τοιȣ̃τον διὰ τῆς καλλίστης ἀγάπης σȣ φρόντισον συναχθῆναι καὶ σταλῆναί μοι· εἰ δέ γε σπέρματος εὑρέσεως ȣ̓κ ἔστιν εὐμάρεια, ἀλλ' ȣ̓̃ν φυτάρια τοιαῦτα νεαρὰ πάνυ ἐμβληθήτωσαν εἰς καλαθίσκον εἴτε καὶ χύτραν πλὴν δικέλλῃ ἀνασπασθέντα μετὰ μεγαλοβώλȣ αὐτῶν γῆς, πρῶτον προβραχῆναι ὀφειλέσης τῆς γῆς, ἵν' ȣ̆τω μεγαληβῶλος ἀνασπασθῇ καὶ σταλήτω πρὸς ἡμᾶς. Ἡμεῖς δὲ τὸν ἀνήκοντα μισθὸν τῷ ἀποκομίσοντι δοίημεν καὶ διὰ τὸν κύριον μὴ γένῃ ῥᾴθυμος καὶ αὐτὸς περὶ τὴν τȣ́των συλλογὴν καὶ ἀποστολὴν, εἰ τέως τὴν οἱανȣ̃ν ἡμῶν ἔχεις φροντίδα. Ὁ Χριστός με τηρήσαι σε πολυχρόνιον.

ρα. ΤΩΙ ΚΥΡΙΩΙ ΔΗΜΗΤΡΙΩΙ ΤΩΙ ΕΚ ΠΡΟΣΩΠΟΥ ΤΟΥ ΣΕΒΑΣΤΟΥ ΚΑΙ ΕΠΑΡΧΟΥ ΚΥΡΙΟΥ ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΔΟΥΚΑ ΚΑΙ ΚΑΜΑΤΗΡΟΥ [1].

Κύριέ μου ἐκ προςώπων νόμιζε τὴν σήμερον δεδακρυμένους ὁρᾷν παρεστηκότας τȣ̀ς νόμȣς σοι καὶ τὴν ἑαυτῶν ἐσχάτην ἀτιμίαν ὀδύρεσθαι καί σε καθικετεύειν τῶν σῶν γονάτων ἐφαπτομένους αὐτοῖς ἐπαμυνάι θερμότατα, τάδε μονονȣχί σοι βοῶντας· Σκυτεὺς τίς; σκυτεὺς ὦ γῆ καὶ ἥλιε καὶ θεσμοθέται θεσμῶν ἱερῶν καὶ οἱ τὰς μείζȣς ἀρχὰς διανύοντες ἐν τῇ βασιλίδι καὶ ταῦτα τῶν πόλεων καὶ σεβαστῶν καὶ ἀρχόντων ἀρχὴν τὸν πολίαρχον [2]) καὶ τῶν λοιπῶν ἁπάντων ὑπερφρονεῖ καὶ ἡμᾶς ἐς τέλος διέῤῥηξέ τε καὶ κατεσπάραξε καὶ ȣ̓δεὶς ἡμῖν ȣ̓δαμȣ̃ ὁ χεῖρα διδȣ̀ς ἀνθρώπων τῇ πολιτείᾳ γνωρίμων τῶν ἀφανῶν ἁπάντων καθεστηκὼς ἀφανέστατος ἀνδράποδα εἰς δȣλείας πεμφθέντα ἀναρπάζει τε καὶ εἱργνύει οἰκείαις εἱρκταῖς, ὥςπερ τις ὢν Φάλαρις ἢ Διονύσιος, ἀλλὰ μὴ σκυτεὺς ἀφανὴς καὶ ἀνώνυμος. Τȣ̃τον δεόμεθα δεδακρυμένοι σὲ σωφρονίσαι καὶ δεῖξαι σκυτέα ἐκεῖνον ἑαυτὸν ἡγεῖσθαι τῷ ὄντι, ἀλλὰ μὴ Φάλαριν ἢ Διονύσιον.

ρβ. ΤΩΙ ΘΕΟΦΙΛΕΣΤΑΤΩΙ ΔΙΔΑΣΚΑΛΩΙ ΚΥΡΙΩΙ ΤΩΙ ΚΟΥΕΡΤΖΗΙ [3]).

Οὐκ ἐκ Χρυσοπόλεως, θεοφιλέστατε καὶ πανευγενέστατε δέσποτα, ἀλλ' ἐξ Ἐριννύων ἢ Τελχίνων τινὸς ὡς ἔοικε πόλεως, εἰ ἄρα τέως Τελ-

1) Cf. Hist. 471.
2) B πολύαρχον.
3) Cf. Hist. 472. 473. 474.

χίνων καὶ Ἐριννύων πόλεις τινὲς καθεστήκασι, τὸ γράμμα τὸ σὸν ἐςέλλετο πρὸς ἡμᾶς, ὅλην γὰρ τραγῳδίαν λακωνικῷ βραχυλογήματι συνεπέραινε. Καὶ ὁ χάρτης δὲ τραγικῶς ὁμοῦ καὶ πραγματικῶς, ἀλλ' οὐ μόνον γραμματικῶς τῶν σοὶ συμβάντων ἀνιαρῶν ἐδείκνυ τὸ μέγεθος. Διάῤῥυτος γὰρ ὡς ποταμοφόρητος αὐτὸς γεγονώς· καὶ γὰρ ὁ ποταμὸς ὁ θῆλυς ἡ θρῆσσα τῷ ὄντι καὶ βάρβαρος καὶ μὴ θελγομένη συνθήκαις γραφῶν ῥητορικῶν κεκραμέναις τῷ μέλιτι τοῦτον τοῖς ὕδασι κατεβάπτισε καὶ τὴν γραφὴν δυςαναγνωστόν τε καὶ ἄγνωστον ἀπειργάσατο, ὡς τέως ἡμῖν ὁ Μαγγάνης ὑφ' ἡμῶν νεμεσώμενος ἔλεγεν. Εἴτ' οὖν ἀληθῶς εἴθ' ὡς Μαγγάνης μαγγανείᾳ λόγων χρησάμενος, ἐμοὶ δὲ τοῦτο ἐςύστερον σκοπουμένῳ ἐδόκησεν εἶναι οἰωνὸς δεξιώτατος. Τὰ γὰρ ἀνιῶντά [1]) σε οἰχήσονται σὺν θεῷ εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης καὶ τὸ παρὰ ἡμῶν δὲ γράμμα καταπεμφθὲν τῇ σῇ αὐθεντίᾳ ὥςπερ τι τῶν ἄλλων σοι σύμβολον ὑπερδέξιον, κατ' αὐτὴν τὴν τῶν ἑορτῶν ἑορτὴν τὴν τῆς ἀναστάσεως ἡμέραν γραφὲν καὶ σταλέν. Οὐκ οἶδα δὲ, τίς ἐστιν ὁ Θηβαῖος ὁ τοῦτο μέλλων ἀποκομίζειν σοι ἢ πότε καὶ ποίῳ καιρῷ, τέως ἡμᾶς μετ' ἐπιτεταμένης σπουδῆς συνώθησέ τις ἁρπακτικώτατα γράψαι. Ἡ τοῦ θεοῦ πανσθενὴς δεξιὰ φρουροίη σε πολυχρόνιον.

ργ. ΤΩΙ ΠΑΝΣΕΒΑΣΤΩΙ ΣΕΒΑΣΤΩ ΚΑΙ ΕΠΑΡΧΩΙ ΚΥΡΙΩΙ ΑΝΔΡΟΝΙΚΩΙ ΤΩΙ ΚΑΜΑΤΗΡΩΙ.

Πανσέβαστε σεβαστὲ καὶ ἅγιέ μου αὐθέντα, ὁ σὸς ὄνειρος ἐχθροῦ δηλοῖ λόγον καὶ συςκευὴν πειρωμένου διασπᾶν ἀπὸ σοῦ τὴν τοῦ βασιλέως στοργήν. Ἀλλ' ὁ τοῦ αὐτοκράτορος σφριγῶν καὶ στεῤῥὸς λογισμὸς ὁ ἀρχικὸς καὶ περικαλλὴς νεανίας ἐκεῖνος οὐκ ἐάσει τὸν δήμιον ὃ βούλεται διαπράξασθαι.

ρδ. ΙΩΑΝΝΗΣ Ο ΤΖΕΤΖΗΣ ΤΩΙ ΣΦΩΙ ΑΝΔΡΑΠΟΔΩΙ ΔΗΜΗΤΡΙΩΙ ΓΟΒΙΝΩΙ ΤΩΙ ΕΥΩΝΥΜΕΙ ΑΠΟΔΡΑΣΚΑΣΑΝΤΙ ΜΕΝ ΤΗΣ ΤΟΥΤΟΥ ΧΕΙΡΟΣ ΕΝ ΔΕ ΤΗΙ ΦΙΛΙΠΠΟΥ ΠΟΛΕΙ ΧΟΡΔΕΥΟΝΤΙ [2]).

Εὐωνυμεῖ Γοβῖνε, δραπέτα Δημήτριε δίκορε, πυνθάνομαι ὡς ἀφ' οὗ τῆς ἡμετέρας χειρὸς ἀπεδράσκασας τόπον ἐκ τόπου παρατροχάζων ἀγυρτεύων περιαλᾷ, νῦν δὲ περὶ τὴν Φιλιππόπολιν κατάρας χορδεύεις καὶ ἀλλαντεύεις καὶ τὰς κοιλίας κυκᾷς, καὶ περὶ μαγδαλιᾶς δὲ [3]) καὶ κυνοβόρας καὶ αἵματος τοῖς τῆς μακέλλης κυσὶ διαμάχῃ. Εἰ μὲν οὖν δουλείας

1) A ἀνίοντα.
2) Cf. Hist. 475 usque ad Hist. 484.
3) B om. δέ.

